Ὁμόζηλος καὶ ὁμότροπος τοῦ Εὐγενίου ἐγίνετο ὁ Ἀναστάσιος ὁ ἐπιλεγόμενος Γόρδιος, ὁ ἱκανώτερος, νεώτερος καὶ προσφιλέστερος τῶν μαθητῶν τοῦ Εὐγενίου, ἐκ Βρανιανῶν καταγόμενος, πιθανῶς περὶ τὰ μέσα τῆς ΙΖ' ἑκατον. γεννηθείς. Ἐλέγετο κατὰ κόσμον Ἀλέξιος, μοναχὸς δὲ γενόμενος μετωνομάσθη Ἀναστάσιος φέρων καὶ τὴν ἐπωνυμίαν Γόρδιος. Κατὰ τὸ 1675 ἐπιστέλλων Ἰωακείμ τινι ἀπὸ Γούβης εἰς Θεσσαλονίκην ὑπογράφεται Ἀλέξιος (Ἐπιστ. πα', φύλ. 105 τοῦ ὑπ' ἀρ. 176 κωδ. Ἐμπ. σχ. ἐν ἀναλύσει τῆς μγ' ἐπιστ. τοῦ β' μέρους τοῦ αὐτοῦ κώδ.), Ἐπαιδεύθη ἐν τῇ αὐτῇ σχολῇ τοῦ Εὐγενίου ἐν τῇ πατρίδι αὐτοῦ Βρανιανοῖς μέχρι τοῦ 1676. Τῷ 1675 ἤρξατο ἀκροᾶσθαι τῆς λογικῆς πραγματείας παρὰ τῷ Εὐγενίῳ ἐν τῇ αὐτῇ σχολῇ (Ἐπιστ. Ἀναστασίου πρὸς Νικόλαον ριε' τοῦ αὐτοῦ κώδ.). Μετὰ ταῦτα διάκονος χειροτονηθεὶς καὶ τελειοτέρας μαθήσεως ἐφιέμενος μετέβη εἰς Ἀθήνας κατὰ Ὀκτώβριον τοῦ 1676 (Ἐπιστ. ρλγ', ργλ' τοῦ αὐτ. κώδ.) τῇ συστάσει τοῦ Εὐγενίου πρὸς τὸν τότε μητροπολίτην Ἀθηνῶν, τὸν ἄρχοντα Ἰωάννην Μπενιζέλον καὶ πρὸς τὸν περίφημον διδάσκαλον Ἀθηνῶν Νικόδημον Μαζαράκην, παρ' ᾧ ἐπὶ τρία ἔτη ἠκροᾶτο τῶν ἀνωτέρων ἐπιστημονικῶν μαθημάτων, λογικῆς, φυσικῆς καὶ ῥητορικῆς. Ὁ Νικόδημος ἦν μαθητὴς τοῦ Ἀθηναίου Δημητρίου Μπενιζέλου, περιφήμου διδασκάλου τότε ἔν τε Ἀθήναις καὶ Ζακύνθῳ. Ὁ Ἀναστάσιος γράφων τῷ 1682 τῷ αἰδεσιμωτάτῳ καὶ λογιωτάτῳ πρωτοπρεσβυτέρῳ τῆς κατὰ Ζάκυνθον ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας Κωνσταντίῳ Ἐλεαζάρῳ ἔλεγε· «Τὸν σοφώτατον καὶ λογιώτατον κύριον Δημήτριον τὸν Μπενιζέλον, τὸν τῆς σῆς αἰδεσιμότητος διδάσκαλον, ἀλλὰ καὶ ἡμῶν οὐχ ἧττον τῆς πρὸς Νικόδημον ἕνεκα μαθητείας, εἰ ἀληθές ἐστι

1. Τὰ Βρανιανὰ εἶναι χωρίον τῆς Αἰτωλίας παρὰ τὰ Ἄγραφα, ὅπερ Ἀναστάσιος ὁ Γόρδιος καλεῖ «Ὑπερανιανὰ» (Ἐπιστ. ρή, ρθ' τοῦ αὐτοῦ κώδ. Ἐμπ. σχολ.), ὡς εἶναι καὶ «Ἐπανιανά».

λέγειν· εἰ τὸ α κατὰ τοῦ β, τὸ δὲ β κατὰ τοῦ γ, καὶ τὸ α κατὰ τοῦ γ». (ἐπιστ..... τοῦ αὐτοῦ κωδ. Ἐμπ. σχολ. Παραβ. καὶ ἡμέτερον σχεδίασμα σελ. 91—98). Ἰδιαίτερον σέβας εἶχε καὶ πρὸς τὸν διδάσκαλόν του Νικόδημον ὁ Ἀναστάσιος, ᾧ ἔγραφε· Τῷ σοφωτάτῳ ἐν Ἱερομονάχοις κυρίῳ Νικοδήμῳ τῷ ἡμετέρῳ *καθηγεμόνι*, εὖ πράττειν». ἐν τέλει δὲ «ὁ ἐλάχιστος τῶν σῶν φοιτητῶν, ἀλλὰ γνήσιος Ἱεροδιάκονος Ἀναστάσιος» (Ἐπιστ. ριζ' τοῦ ἀντ. κώδ.). Ὁ Ἀναστάσιος ἀποφοιτήσας τῆς ἐν Ἀθήναις σχολῆς τοῦ Νικοδήμου τῷ 1679 ἐπέστρεψεν εἰς τὴν πατρίδα του καὶ τὴν μετάνοιάν του, εἰς τὴν μονὴν τοῦ Γούβης, ὅπου εὗρε ζῶντα τὸν γέροντα διδάσκαλόν του Εὐγένιον· τότε ἐχειροτονήθη πρεσβύτερος καὶ ὑπογράφεται τῷ 1679, 1680 καὶ ἐφεξῆς *ἱερομόναχος* (Ἐπιστ. οζ', οη' φύλ 96—97, ἔτι ἐπιστ. μζ' τοῦ αὐτ. κωδ.).

Τῷ 1681 καὶ 1682 κατὰ Φεβρουάριον διαδεξάμενος τὸν διδάσκαλόν του Εὐγένιον, φαίνεται διδάσκων ἐν Βρανιανοῖς, ἐν τῇ αὐτῇ μονῇ τῆς Γούβης (φύλ. 72 αὐτ. κώδ.), ὅτε καὶ ἀπεβίωσεν ὁ Εὐγένιος τῷ 1682, ὡς ἀντιτίρω εἴρηται· ἐπίσης φαίνεται τῷ 1683 μέχρι τοῦ 1692. Ἱκανοὶ μαθηταὶ συνέρρεον κατὰ τότε εἰς τὴν ἀνήλιον Γούβαν. Ὁ Ἀναστάσιος γράφων Ἰωακείμ τῷ ἱερομονάχῳ ἔλεγεν· «Ὁ Χριστοφόρος καὶ ὁ Ἐλάχιστος (ἀδελφὸς τοῦ Ἀναστασίου) ἀσπάζονται τὴν σὴν ὁσιότητα δι' ἐμοῦ εὐλαβῶς καὶ *πάντες οἱ παρ' ἡμῖν σὺν Θεῷ μαθητεύοντες* (Ἐπιστ. ξε', φύλ. 80 τοῦ αὐτοῦ κώδ.). Καὶ τῷ ἄλλοτε συμμαθητῇ αὐτοῦ Ζαχαρίᾳ ἐν Βλαχίᾳ διατρίβοντι τῷ 1682 ἔγραφε· «Φοιτῶσι γὰρ συνεχῶς ἡμῖν *νέοι πολλοί*, ἀλλ' οὐ τῶν εὐπόρων, οὐδὲ τῶν πλούτῳ κομώντων (οὐδὲ γάρ ἐστι τις ἐνταῦθα τοιοῦτος), πένητες δὲ ὡς ἡμεῖς αὐτοὶ ἀπολαύουσιν οὖν καὶ μαθημάτων τῶν κατὰ τὴν ἡμετέραν δύναμιν οὖσαν ἐπιστημονικῶν, πλὴν Χριστοφόρου ἱερομονάχου, ἀλλὰ τῆς ἐγκυκλίου καλουμένης παιδείας» (Ἐπιστ. ριε' τοῦ αὐτοῦ κώδ.). Ἐδιδάσκετο λοιπὸν ἐν τῇ ταπεινῇ σχολῇ τῆς Γούβης ὑπὸ τῶν ζηλωτῶν διδασκάλων ἡ ἐγκύκλιος παίδευσις καὶ ἐμμελῶς ἐξηγεῖτο καὶ ἐγράφετο ὁ ἀρχαῖος Ἑλλην λόγος, ὡς μαρτυροῦσιν ἀριδήλως αἱ ἐπιστολαὶ αὐτοῦ καὶ τὰ ἄλλα πονήματα.

Ἀκολούθως ὁ Ἀναστάσιος φαίνεται ἐν Αἰτωλικῷ τῷ 1692, 1698, 1706, 1707, ἐν Πάτραις δὲ τῷ 1712· δὲν γνωρίζομεν, ἂν διέτριβεν αὐτόθι ὡς διδάσκαλος, μᾶλλον δὲ περιώδευε τὰ μέρη ταῦτα κηρύττων τὸν λόγον τοῦ Θεοῦ, ὡς ἔπραττον συνήθως κατὰ τὴν ἐποχὴν ἐκείνην καὶ βραδύτερον μέχρι τῶν ἀρχῶν τοῦ παρόντος αἰῶνος οἱ μεγάλοι διδάσκαλοι καὶ λαοκήρυκες, ὡς ὁ ἅγιος Κοσμᾶς ὁ Αἰτωλὸς καὶ πλεῖστοι ἕτεροι.

Ὁ Ἀναστάσιος ἐσπούδασε καὶ ἐν Πατραῖῳ τῆς Ἰταλίας, μὴ ἀρκούμενος εἰς τὰς γνώσεις τοῦ Εὐγενίου καὶ Νικοδήμου. Τό γε νῦν δὲν γνωρίζομεν ἀκριβῶς πότε ἐπεχείρησε τὸ ταξείδιον τοῦτο· ὅτι ὅμως ἠκροάσατο καὶ τῶν ἐν Πατραῖῳ σοφῶν μαρτυρεῖ τόδε. Γράφων πρὸς τὸν ἡγεμόνα τῆς Βλαχίας Νικόλαον Ἀλεξάνδρου Μαυροκορδάτον, ἔλεγε περὶ τοῦ πατρὸς τοῦ ἡγεμόνος, τοῦ περιφήμου Ἀλεξάνδρου Μαυροκορδάτου· « ..... αὐτόπτης δὲ καὶ τῆς ἐκείνου *μάρκας* ἐν τῷ τοῦ Πατσουίου λυκείῳ τῷ λεγομένῳ βοὶ κρεμαμένης μετὰ πολλῶν ἄλλων κατὰ τὸ ἐκείνων ἔθος καὶ τῆς περὶ αὐτοῦ ῥήμης τῆς παρὰ πάντων συνεχῶς ᾀδομένης αὐτήκοος ἐγενόμην» (ἐν κώδ. ἀριθ. 122 Θεολ. σχολ. φύλ. 157). Πιθανῶς ἀπεδήμησεν εἰς Ἰταλίαν μετὰ τὸ 1692. Μετὰ τὰς ἀποδημίας ταύτας εἰς διάφορα μέρη τῆς Ἑλλάδος ἐγκατέστη, γέρων ἤδη, ἐν τῇ ἀρχαίᾳ αὐτοῦ μονῇ, ἐν ᾗ ἐδίδασκε μέχρι τέλους τοῦ βίου αὐτοῦ· συνταξάμενος δὲ καὶ τὴν διαθήκην τῷ 1729, εὑρισκομένην ἐν ἀντιγράφῳ ἐν τέλει τοῦ εἰρημένου κώδικος τῆς Θεολογικῆς σχολῆς, παρέδωκε μετ' ὀλίγον, ἄδηλον πότε ἀκριβῶς, τὸ πνεῦμα εἰς Κύριον.

Τοιοῦτοι ἐγένοντο οἱ δύο οὗτοι μεγάλοι διδάσκαλοι τῆς Αἰτωλίας καὶ Παραχελωΐτιδος χώρας Εὐγένιος καὶ Ἀναστάσιος ἐπὶ μίαν περίπου ἑκατονταετηρίδα (1640—1730) διδάξαντες, ὧν τὸν βίον, τὴν πολιτείαν καὶ τὴν δρᾶσιν μανθάνομεν ἐκ τῶν σωζομένων αὐτῶν ἐπιστολῶν τεθησαυρισμένων, ὡς προείπομεν, ἐν τοῖς εἰρημένοις κώδιξι τῶν δύο σχολῶν τῆς Χάλκης. Περιελθόντες ἀμφότεροι χώρας πολλὰς καὶ ἱκανὴν κτησάμενοι παιδείαν, σχέσεις ἔχοντες καὶ ἀλληλογραφίαν μετὰ πατριαρχῶν, ἀρχιερέων, προυχόντων τοῦ γένους, ἡγεμόνων καὶ πολλῶν ἄλλων σημαινόντων τὸ τότε, καὶ εἰς μακρὰς χώρας ἔτι γνωστοὶ καὶ σεβαστοὶ κατεφρόνησαν τὴν ματαίαν δόξαν τοῦ κόσμου, κατεφρόνησαν θρόνους ἐπισκοπικούς, ἴσως καὶ πατριαρχικούς, ἐκλείσθησαν εἰς τὰ πυριλεκτα Ἄγραφα εἰς μίαν μικρὰν μονήν, ἣν ἀνέδειξαν πράγματι παιδευτήριον τῆς δυτικῆς Ἑλλάδος παιδεύσαντες ἀληθῶς καὶ ἐξημερώσαντες τὰ τραχέα ἐκεῖνα μέρη.

Τὸ ἔργον τῶν δύο τούτων μεγάλων ἀνδρῶν ἠκολούθησε κατόπιν ὁ πατριώτης αὐτῶν καὶ μαθητὴς Θεοφάνης Ἱερομόναχος, ὁ ἐκ Φουρνᾶς τῶν Ἀγράφων καταγόμενος. Ὁ Θεοφάνης μετὰ τὴν ἀποφοίτησίν του ἐκ τῆς σχολῆς τῶν Βρανιανῶν μετέβη εἰς Ἰωάννινα, ὅπου ἠκροάσατο τῶν τότε περιφήμων αὐτόθι διδασκάλων Μεθοδίου τοῦ Ἀνθρακίτου, Στίγνεως, Τρύφωνος καὶ Μπαλάνου, ὡς λέγει ὁ ἔξοχος αὐτοῦ μαθητὴς Σέργιος ὁ Μακραῖος ὁ ἐκ Φουρνᾶς τῶν αὐτῶν Ἀγράφων ἐπίσης καταγόμενος ἐν τῇ προσφωνήσει τῆς αὐτοῦ Ἐπιτομῆς φυσικῆς ἀκροάσεως· σελ. ζ' «Ἐξ αὐτῆς (τῆς μητροπόλεως Ἰωαννίνων) ὡς ἀπὸ καλλιρρόου πηγῆς ἀρυσάμενος δαψιλῆ χεύματα διὰ Μεθοδίου, Στίγνεως, Τρύφωνος, Μπαλάνου τῶν ἀοιδίμων διδασκάλων, ὁ ἐν ὁσιότητι μέγας καὶ πολὺς ἐν σοφίᾳ Θεοφάνης, ὁ ἐμὸς πρῶτος καθηγητής, ἀνήγαγεν εἰς Ἄγραφα καὶ διψῶσι μετέδωκεν· ἐπ' αὐτὴν (Ἰωάννινα) τὸ πρῶτον προσκληθεὶς ἐπέλαμψεν ὁ σοφώτατος διδάσκαλός μου Εὐγένιος». Ὁ Θεοφάνης κατὰ τὸ παράδειγμα τῶν προκατόχων αὐτοῦ ἐδίδασκε μέχρι τοῦ θανάτου του τῷ 1774 ἐπισυμβάντι (ἐπιστολὴ Σ. Μακραίου πρὸς Κύριλλον παρὰ Σάθᾳ Μεσ. βιβλ. Γ', οβ', πς'). Ζῶν ἔτι ἐπεθύμει νὰ καταστήσῃ διάδοχον αὐτοῦ τὸν ἄλλοτε μαθητήν του Σέργιον Μακραῖον ἐν Κωνσταντινουπόλει διδάσκοντα, ἀλλὰ μάτην παρεκάλει αὐτὸν προτιμῶντα βεβαίως τὴν Κωνσταντινούπολιν τῶν ἐρήμων Ἀγράφων.

Ἀλλὰ καὶ τοῦ Μακραίου ἀποποιουμένου εὐσχήμως τὴν εἰς Ἄγραφα μετάβασιν δὲν ἐξέλιπεν ἐκ τῆς Αἰτωλίας ἡ ἑλληνικὴ παιδεία· μικρὸν μετὰ ταῦτα ἀδήλων διδασκάλων μέχρι τοῦδε τὸ ἔργον τῶν ἀοιδίμων ἐκείνων διδασκάλων συνεχιζόντων, ἱδρύθη τῷ 1760 ἡ περίφημος ἐν Μεσολογγίῳ Παλαμαία σχολὴ μέχρι τοῦ 1821 διατηρηθεῖσα καὶ διὰ τοῦ ἁπλέτου αὐτῆς φωτὸς τὴν δυτικὴν Ἑλλάδα καταπυρσεύσασα.

Ἡ σχολὴ λοιπὸν τῆς πενιχρᾶς μονῆς τῆς Ἁγίας Παρασκευῆς τῶν Βρανιανῶν, ἂν μὴ ἐράμιλλος τῶν σχολῶν τῶν Ἰωαννίνων καὶ Ἀθηνῶν, ὠφέλησεν ὅμως τὰ μέγιστα τὰ μέρη τῶν Ἀγράφων, τὴν παρακειμένην Θεσσαλίαν, τὴν Παραχελωΐτιδα χώραν καὶ τὴν λοιπὴν Αἰτωλίαν. Τὸ Καρπενήσιον καὶ τὰ Ἄγραφα καὶ τὸ Μεσολόγγιον διέπρεψαν πάντοτε μεταξὺ τῶν νεωτέρων ἑλληνικῶν χωρῶν, οἱ δὲ Ἀγραφιῶται καὶ σήμερον ἔτι πρόκεινται πολλοῖς τῶν ὁμογενῶν παράδειγμα φιλοπονίας καὶ φιλογενείας. Οἱ δὲ μακάριοι ἐκεῖνοι διδάσκαλοι Εὐγένιος, Ἀναστάσιος καὶ Θεοφάνης, διὰ τῆς εὐαρέστου πολιτείας αὐτῶν, διὰ τῆς ἀπὸ στόματος διδασκαλίας ἐν τῇ σχολῇ καὶ διὰ τοῦ ἀπ' ἄμβωνος κηρύγματος καὶ ἐν ὑπαίθρῳ ἐν τοῖς χωρίοις, καὶ διὰ τῆς προστασίας, ἣν παρεῖχον τοῖς δεομένοις διὰ τῆς παρὰ τοῖς ἰσχυροῖς τῆς ἡμέρας ὑπολήψεώς των, ἐγένοντο ὄντως μεγάλοι εὐεργέται τοῦ γένους ἡμῶν, ὅπερ εὐγνώμον πάντοτε τὴν χάριν διατηρήσει ἀίδιον.

Ἐν Σμύρνῃ κατὰ Νοέμβριον τοῦ 1894.

Η ΕΝ ΘΕΣΣΑΛΙΑ ΤΡΙΚΚΗ ΚΑΤΑ ΤΟΝ ΙΖ' ΑΙΩΝΑ

ὑπὸ

ΜΑΤΘΑΙΟΥ ΠΑΡΑΝΙΚΑ

Πόσον συντελεστικαὶ εἰς τὴν ὀρθὴν τῆς ἱστορίας ἡμῶν κατάληψιν εἶναι αἱ μελέται τῆς ἐκκλησιαστικῆς, κοινωνικῆς καὶ ἐκπαιδευτικῆς καταστάσεως τῶν διαφόρων κατ' ἐπαρχίας πόλεων καὶ κοινοτήτων ἰδίᾳ μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως, οὐδεὶς δύναται ν' ἀρνηθῇ. Πολλοὶ τῶν ἡμετέρων λογίων λίαν φιλοτίμως καὶ μετ' ἀξιεπαίνου ζήλου καταγίνονται εἰς τὴν περισυλλογὴν παντοίων εἰδήσεων, καὶ αὐτῶν τῶν μικροτέρων καὶ ἐπουσιωδεστέρων, συντεινουσῶν ὁπωσδήποτε εἰς τὴν διαφώτισιν σκοτεινῶν τῆς ἡμε-

τέρας ἱστορίας σελίδων. Τοιαύτην μικρὰν μελέτην περὶ Τρίκκης κατὰ τὸν ΙΖ' αἰῶνα ἀποστέλλω τῷ Συλλόγῳ, ἐξαιτούμενος τῶν φίλων ἑταίρων τὴν ἐπιεικῆ κρίσιν.

Διερχόμενοι τοὺς ἀξιολόγους ἐπισκοπικοὺς καταλόγους, οὓς ἀτρύτοις πόνοις ἐφιλοπόνησεν ὁ σεβασμιώτατος μητροπολίτης Ἀμασείας κ. Ἄνθιμος Ἀλεξούδης, παρατηροῦμεν ἐν τῇ ἐπισκοπῇ Τρίκκης, ὑπαγομένῃ εἰς τὴν μητρόπολιν Λαρίσσης, χάσμα ἀπὸ τοῦ 1654—1702, ὅπερ ἐπιχειροῦμεν νὰ συμπληρώσωμεν.

Ὁ ἅγιος Ἀμασείας τάσσει ἐπισκόπους Τρίκκης τῷ 1619 τὸν Κωνσταντῖνον, τῷ 1654 τὸν Παΐσιον, εὐθὺς δὲ μετὰ τοῦτον παρεμβάλλει χάσμα μέχρι τοῦ 1702, ὅτε μέχρι τοῦ 1750 τάσσει ἐπίσκοπον τὸν Κωνστάντιον. Πῶς δυνάμεθα νὰ συμπληρώσωμεν τὸ χάσμα τόδε; Κατηργήθη ἀρά γε ἡ ἐπισκοπὴ συγχωνευθεῖσα τῇ μητροπόλει Λαρίσσης; Τοῦτο θεωροῦμεν πιθανώτερον καὶ διὰ τῶν ἑξῆς ἀποδεικνύομεν.

Ἐν παρόδῳ λέγομεν ὅτι κατηργήθη πιθανῶς ἡ ἐπισκοπὴ μετὰ τὴν ἔξωσιν τοῦ τιτλοφόρου αὐτῆς Διονυσίου, τοῦ λεγομένου *φιλοσόφου ἢ σκυλοσόφου*, ἀντάρτου γενομένου τῷ 1612 (πρβλ. Π. Ἀραβαντινοῦ Χρονογραφ. Ἠπείρου Α', 220-223), διότι καὶ μετὰ τὸ 1612 ἀναφέρεται κατόπιν τῷ 1654 ἐπίσκοπος ὁ Παΐσιος. Μᾶλλον αἱ τότε ἐπιδρομαὶ καὶ δῃώσεις ἀνὰ τὴν ὑπαίθρον Θεσσαλίαν καὶ τὰ παρ' αὐτὴν μέρη συνετέλεσαν εἰς τὴν χήρευσιν τῆς ἐπισκοπῆς. Ὁπωσδήποτε παραλείποντες τὰς εἰκοτολογίας ἀναφέρομεν ἱστορικὰ γεγονότα καὶ μαρτυρίας συγχρόνων ἀνδρῶν, ἀναφερόντων τὴν πρόχαιρον τῆς ἐπισκοπῆς κατάργησιν.

α') Ἡ ἐπισκοπὴ Τρίκκης φαίνεται χηρεύουσα τῷ 1662. Εὐγένιος Ἰωαννούλιος ὁ Λίτωλὸς ἐπέστελλε τῷ μητροπολίτῃ Λαρίσσης Διονυσίῳ τῷ 1662· « Ὁπηνίκα δ' ἂν ἐν *Τρίκκῃ* σὺν Θεῷ ἡ ὅπῃ ἄλλοθι *μεσαβήσεται* καὶ τὴν ἄφιξιν ἀκριβῶς εἴσομαι, τότε ποιήσομαι καὶ χωλοῦ δρόμον, ὡς λέγεται » (Κώδηξ Θεολ. σχ. Χάλκης ὑπ' ἀριθ. 122, φύλλ. 1)· ὅπερ δηλοῖ ὅτι ὁ Λαρίσσης μητροπολίτης περιοδεύων εἰς τὴν ἑαυτοῦ ἐπαρχίαν ἤθελεν ἐπισκεφθῇ καὶ τὴν Τρίκκην, ὅπερ οὐκ ἂν ἐποίει, εἰ ἐνδιέτριβεν ὁ *Τρίκκης* ἐπίσκοπος ἐν τῇ ἕδρᾳ αὐτοῦ Τρίκκῃ· ἆρα Τρίκκης ἐπίσκοπος δὲν ὑπῆρχε, καὶ ὁ Λαρίσσης ἐκυβέρνα τὴν ἐπισκοπήν.

β') Ὁ μητροπολίτης Ἰωαννίνων Κύριλλος τῷ 1675 γράφει παραινετικὴν ἐπιστολὴν τοῖς ἐντιμοτάτοις καὶ λογιωτάτοις ἁγίοις κληρικοῖς καὶ ἄρχουσι τῆς περιζήλου πόλεως Τρίκκης. Ἐπειδὴ δὲ γράφει μόνον τοῖς κληρικοῖς καὶ ἄρχουσι παραλείπων τὸ ὄνομα ἐπισκόπου, φαίνεται ὅτι ἐπίσκοπος δὲν ὑπῆρχεν, ἡ δὲ ἐπισκοπὴ ἐχήρευεν. Ἤδη πῶς ἠδύνατο ξένης ἐπαρχίας μητροπολίτης νὰ γράφῃ παραινετικὴν ἐπιστολὴν εἰς ξένον ποίμνιον; (Κώδηξ Ἐμπ. σχ. Χάλκης ὑπ' ἀρ. 167, φύλ. 12-13 τοῦ β' μέρους). Ἆρα ἐπίσκοπος δὲν ὑπῆρχε.

γ') Τοῦ Λαρίσσης μητροπολίτου Ἰακώβου τοῦ Χίου ὁ ἀρχιδιάκονος Κλήμης, Χῖος καὶ οὗτος, διέτριβεν ἐν Τρίκκῃ συνεχῶς ὡς ἐπίτροπος τοῦ γέροντος αὐτοῦ μητροπολίτου Λαρίσσης Ἰακώβου τῷ 1678 (ἐπιστ. Ἀναστασίου Γορδίου ις' ἐν τῷ αὐτῷ κωδ. Ἐμπ. σχ.). Ἆρα ἐπίσκοπος δὲν ὑπῆρχε.

δ') Ὁ Γόρδιος οὗτος γράφων τῷ πρωτοπαπᾷ Τρίκκης Κωνσταντίνῳ τῷ 1680, ἔλεγε· «Γράψοις ἂν ἡμῖν ἐφιεμένοις καὶ περὶ τοῦ νεωστὶ κατελθόντος μητροπολίτου (ἐννοεῖται Λαρίσσης) τίς τε καὶ ποδαπὸς καὶ ὁποῖός τις». (ἐπιστ. ρ' τοῦ αὐτοῦ κωδ. ἐμπ. σχολῆς). Τῷ αὐτῷ πάλιν πρωτοπαπᾷ ἔγραφεν ὁ Γόρδιος· «Τῷ αἰδεσιμωτάτῳ καὶ λογιωτάτῳ πρωτοπρεσβυτέρῳ καὶ γνησίῳ ἐπιτρόπῳ τοῦ Πανιερωτάτου Λαρίσσης καὶ *Τρίκκης* κυρίῳ Κωνσταντίνῳ, τῷ ἐμοὶ ἐν Χριστῷ φιλτάτῳ, εὖ πράττειν». (ἐπιστ. ρβ' τοῦ β' μέρους τοῦ αὐτοῦ κωδ. Ἐμπ. σχολῆς).

ε') Τῷ 1713 μητροπολίτης Λαρίσσης καὶ *Τρίκκης* ἀναφέρεται ὁ Παρθένιος (κωδ. Θεολ. σχολῆς ὑπ' ἀρ. 122 φυλ. 217). Κατὰ τοῦτο δὲν εἶναι ἀκριβὲς τὸ ὑπὸ τοῦ ἁγίου Ἀμασείας ἀνωτέρω λεγόμενον, ὅτι τῷ 1702 ἐπίσκοπος Τρίκκης ἦν ὁ Κωνστάντιος

Ἤδη τῷ 1743 ἐν ἴσῳ (ἀντιγράφῳ) διαθήκης ἀναφέρονται οἱ ἑξῆς ἀρχιερεῖς· Λαρίσσης Ἰάκωβος, Σταγῶν (;) Τιμόθεος, *Τρίκκης Κωνστάντιος*, Γαρδικίου Μελέτιος. (ἐπιστολ. Θεολ. σχολῆς ὑπ' ἀριθ. 77 καὶ ἐν καταλόγῳ χειρογρ. τῆς αὐτῆς σχολῆς σελ. 165).

Ἡ ἐπισκοπὴ λοιπὸν Τρίκκης χηρεύσασα, ὅπως ἡμῖν ἐκ τῶν πηγῶν γνωστόν, μετὰ τὸ 1654 καὶ πρὸ τοῦ 1662, φαίνεται πάλιν ἀνασυστᾶσα διότι τῷ 1743 προϊστατο αὐτῆς ὁ Κωνστάντιος.

Ἐν τοῖς αὐτοῖς κώδιξι τῶν δύο τῆς Χάλκης σχολῶν ἀνεύρομεν καὶ τοὺς ἑξῆς λογίους ἄνδρας ἐν *Τρίκκῃ*·

Κωνσταντῖνον πρωτοπρεσβύτερον, καὶ *Νι-*

κάλλιον ἱερέα ἐκ Μορικόβου τῆς ἐπαρχίας Τρίκκης, συναθροίσαντα καὶ ἀντιγράψαντα τὰς ἐπιστολὰς Εὐγενίου τοῦ Αἰτωλοῦ καὶ Ἀναστασίου τοῦ Γορδίου, τὰς ἀποτελούσας τὸν ὑπ' ἀριθ. 167 κώδικα τῆς Ἐμπ. σχολῆς, ἐφημέριον τοῦ ναοῦ τῆς Ἐπισκέψεως ἐν Τρίκκῃ τῷ 1679. Οἱ ἱερεῖς οὗτοι, ὅ τε Κωνσταντῖνος καὶ ὁ Νικόλαος, ἦσαν λόγιοι τῆς ἐποχῆς των, ὡς δεικνύουν αἱ δογματικαὶ αὐτῶν ἐπιστολαὶ καὶ συζητήσεις μετὰ Νικοδήμου Μαζαράκη Φεραίου ἐν φύλ. 110 τοῦ ἀνωτέρω κώδικος τῆς Ἐμπ. σχολῆς.

Ἱερεμίαν Κακαβέλαν, μοναχὸν ἐν Τρίκκῃ· ἐν ἐπιστ. δ' τοῦ β' μέρους τοῦ αὐτοῦ κώδικος.

Ζαχαρίαν, μαθητὴν Εὐγενίου τοῦ Αἰτωλοῦ καὶ τῶν ἐν Κωνσταντινουπόλει Σεβαστοῦ καὶ Σπανδωνῆ ἐκ Φαρσάλου, διδάσκαλον ἐν Ἰασίῳ τῷ 1680 (ἐπιστ. κδ', φυλ. 28—30 τοῦ β' μέρους τοῦ αὐτ. κώδ. Ἐμπορ. σχολῆς).

Εὐστάθιον, πρωτοψάλτην Τρίκκης καὶ χρυσοχόον, Λοκρόν, ἀλλ' ἐγκαταστάντα ἐν Τρίκκῃ, ἀδελφὸν Γερμανοῦ τοῦ Αἰτωλοῦ ἐν πλείσταις ἐπιστολαῖς τῶν ἀνωτέρω κωδίκων μνημονευόμενον.

Ταῦτα ἐν ὀλίγοις περὶ τῆς ἐν Θεσσαλίᾳ Τρίκκης κατὰ τὸν ΙΖ' αἰῶνα[1].

Ἐν Σμύρνῃ, κατὰ ἰανουάριον τοῦ 1895.

1· Ἡ μικρὰ αὕτη μελέτη θέλει περιλάβει τριπλασίαν τοὐλάχιστον ἔκτασιν, ἐὰν περιληρθῶσιν ἐν αὐτῇ διάφορα τεμάχια ἐπιστολῶν καὶ ἑτέρων ἐγγράφων ἐκ τῶν ἀναφερομένων κωδίκων. Δυστυχῶς εὑρισκόμενος μακρὰν τῆς Χάλκης, ἔνθα εἰσὶ τεθησαυρισμένοι οἱ κώδικες, περιορίζομαι μόνον εἰς τινας σημειώσεις, ἅλλοτε κατὰ τὴν ἐν Χάλκῃ διαμονήν μου ἀντληθείσας. Εἰ δὲ Θεὸς θέλοι, θέλω συμπληρώσει ταῦτα ἐκ τῶν αὐτῶν κωδίκων.

ΠΕΡΙ ΕΝΥΠΙΝΙΩΝ

ὑπὸ

Ι. ΚΑΡΟΛΙΔΟΥ

(ἀνεγνώσθη ἐν ταῖς συνεδρίαισι ΑΡΞΕ' τῇ 17 ἰανουαρίου καὶ ΑΡΟΒ' τῇ 14 μαρτίου 1894).

Πρὸ δεκαετίας ἔτυχον ἀναγνοὺς ἀπὸ τοῦδε τοῦ βήματος πραγματείαν περὶ ἐνυπνίων ἐλαχίστην[1], ἐν ᾗ μικρὰ προοιμιασάμενος ἐξέθηκα δι' ὀλίγων ἃ περὶ ὕπνου ἐφιλοσόφησε πάλαι μόνος ὁ θεῖος φιλόσοφος Ἀριστοτέλης. Νυνὶ δὲ μετὰ τηλικαύτην χρόνου περίοδον ἔρχομαι πάλιν εὐλαβῶς εἰς τὸ τέμενος τοῦτο τῶν Ἑλικωνιάδων ὅπως ἀνακοινώσω τοῖς φίλοις ἀκροαταῖς ἐν ὀλίγοις, ὅσον ὁ χρόνος ὁ βραχὺς ἐπέτρεψέ μοι (διὸ καὶ συγγνώμην αἰτοῦμαι τοὺς φίλους ἀκροατὰς εἴ τι τῶν ἐξῆς ῥηθησομένων αὐτοῖς οὐ πάνυ τελειότητι καὶ ἀκριβείᾳ καὶ καινότητι διανοίας ἢ λέξεως φανήσεται πρέπον), ὅσα παρ' ἐκείνου τε καὶ τῶν ἐπιγενομένων ἐς τόδε φιλοσόφων ἠρυσάμεθα περὶ ἐνυπνίων. Ἔστι δὲ τὸ ζήτημα πάνυ σπουδαῖον, ἅτε τούτων ἀμφοτέρων (ἐνυπνίου καὶ ὕπνου) μοῖραν οὐκ ὀλίγην τοῦ βίου καταλαμβανόντων, καὶ τοῦτο μὲν οὐκ ἐλάχιστον εἰς τὸ εὖ εἶναι τοῖς βροτοῖς συντελούντων, τοῦτο δέ, ἰδίᾳ μάλιστα τῶν ἐνυπνίων, μεγάλα καὶ που καὶ μίγιστα πρὸς τὴν καθόλου τοῦ ἀνθρωπείου πορείαν συμβαλλομένων. Τοῦ μὲν οὖν ὕπνου γνωστὴ καὶ δήλη τοῖς πᾶσιν ἡ σωτηριώδης ἐνέργεια[1] τὸ τῶν δυνάμεων τῶν τε τοῦ σώματος καὶ τῆς ψυχῆς μεθ' ἡμέραν ἀναλωθὲν ἀναπληροῦντος καὶ πρὸς τοῦτο καὶ δὴ διὰ τοῦτο τοῖς ἤδη τὸ πρῶτον, ἰδίᾳ μετὰ κάματον, ἀρξαμένοις αὐτοῦ μεταλαμβάνειν ἅρατόν τινα τὴν ἡδονὴν παρέχοντος· διὸ δικαίως ἐπιθέτοις ὑπὸ τῶν ἀρχαίων ἐκοσμήθη πολλοῖς καὶ ποικίλοις, τοῦτο μὲν αὐτοῦ τὸ παρεκτικὸν

1. Ἴδε περιοδ. τόμ. ΙΙΙ', ἔτ. 1883—4, σελ. 22.

1. Ἀριστοτέλ. περὶ ὕπνου καὶ ἐγρηγ. 2 κεφ. 3.

ἡδονῆς, τοῦτο δὲ τὸ λύπης, ἄλγους, ὀδύνης καὶ τῶν τοιούτων ἀναιρετικὸν σημαίνουσιν. Ὁ δὲ θεῖος Ὅμηρος καὶ πάντων ἄνακτα θεῶν τ' ἀνθρώπων τε [1] δι' αὐτὸ δὴ τοῦτο τὸν ὕπνον ἐκάλεσεν, ἅτε φύσεως πάσης, κατ' ἐκεῖνον, ἀνθρωπίνης καὶ θείας ὑποκειμένης τε τῷ ὕπνῳ καὶ τῆς ἡδονῆς ἐριεμένης τῆς ἐξ ἐκείνου. Καὶ Μόσχος δ' ὁ ποιητὴς ἐν εἰδυλλίῳ δευτέρῳ [2] τὴν ὑπὸ Διὸς ἁρπαγὴν ἀρηγούμενος τῆς Εὐρώπης τὸ γλυκὺ τοῦ ὕπνου παρίστησι κράτος ἀρχόμενος

> Εὐρώπῃ ποτὲ Κύπρις ἐπὶ γλυκὺν ἧκεν ὄνειρον,
> νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ' ἠώς,
> ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων
> λυσιμελὴς πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ·
> εὖ τε καὶ ἀτρεκέων ποιμαίνεται ἔθνος ὀνείρων.

Ἀνάλογος δὲ τῆς ἐκ τοῦ ὕπνου ἡδονῆς ἡ ἀπὸ τῆς τούτου στερήσεως ἀνία καὶ ἀλγηδὼν καὶ καθόλου ταλαιπωρία· διό ποτε πάλαι πρὸς ἀνακάλυψιν ἢ ἐξέλεγξιν τῆς ἀληθείας ἡγεμόνες καὶ δικασταὶ προσεχρῶντο ταύτῃ (τῇ ταλαιπωρίᾳ) μὴ καθεύδειν ἐῶντες τοὺς ἐπικατακουργήμασιν ὑπόπτους. Ἔστι μὲν οὖν ὁ ὕπνος ἡδὺς ἐν ὥρᾳ καὶ μέτρῳ μεταλαμβανόμενος· πέρα δὲ τούτων καὶ πλείων ἢ ἔλαττον ἢ κατὰ φύσιν, οὐκέτι γλυκύς, ἀλλὰ δὴ καὶ ἀνιαρὸς καὶ φθαρτικός, ὡς καλῶς γινώσκουσιν οἵ τε ἐν στρατείαις καὶ κύβοις καὶ ὀρχήσεσι τὴν οἰκείαν ὥραν, ἤτοι τὴν νύκτα διάγοντες καὶ οἱ πέρα τοῦ μετρίου δι' ἀργίαν ἑαυτοὺς τῷ Μορφεῖ παραδιδόντες. Ἐπειδὴ δ', ὥσπερ εἴρηται, μοῖραν οὐκ ὀλίγην καταλαμβάνει διὰ τῆς καθ' ἑκάστην ἐπαναλήψεως ὁ ὕπνος, αὐξάνειν ἐπενόησαν ἀεὶ καὶ πανταχοῦ τὴν ἐντεῦθεν ἡδονὴν οἱ ἄνθρωποι ἑτέρας οὐχ ἧσσον ἐπαγωγοὺς αὐτῇ προστιθέντες τὴν ἐκ τοῦ μετρίου κατὰ τοῦ ἔτους τὴν ὥραν ψύχους ἢ θάλπους, τὴν ἐκ τοῦ τόπου τοῦ οἰκείου καὶ τὴν ἐκ τοῦ, καθ' ὃν ὑπνοῦσι χρόνον, ἀγκαλίσματι χρῆσθαι τῇ (ἐρωμένῃ ἢ) φίλῃ συζύγῳ. Διὸ καὶ τὸν Δία παρίστησιν ὁ Ὅμηρος ἐν Ἰλ. Ξ παροτρύνοντα τὴν φίλην σύνευνον συνευνασθῆναι ἐπὶ τῇ Ἴδῃ, ὕστερον δὲ κοιμώμενον αὐτὸν ὕπνῳ τε δαμέντα καὶ φιλότητι καὶ ἀγκὰς τὴν ἄκοιτιν ἔχοντα· φαίνεται μὲν οὖν ὁ ὕπνος, ὡς συνελόντι φάναι, τῆς ψυχῆς ἀποχώρησις ἐντελὴς ἀπὸ τῶν ἔξω καὶ ἀκινησία τῶν αἰσθήσεων πασῶν, ἅμα δὲ τῆς κυριωτάτης καὶ πρώτης, ἣν Ἀριστοτέλης μὲν δύναμιν αὐτῶν κοινὴν [1] ἢ πρῶτον αἰσθητικόν, αὐτοὶ δὲ συνειδὸς ἢ συνείδησιν ὀνομάζομεν, εἰς ἀργίαν, ὥσπερ ἐν τῷ θανάτῳ, περιπεσουσῶν, ὅθεν αὐτῷ καὶ ἡ προσηγορία «θανάτου κασίγνητος» παρ' Ὁμήρῳ· ἔστι δ' οὐ πάντως ἀλλά τις ἐπάνοδος εἰς τὰς πρώτας, ἐξ ὧν ὡρμήθη, τοῦ εἶναι καὶ αἰσθάνεσθαι βαθμίδας, οἷαι αἱ ἐν τῷ ἐμβρύῳ, τῷ βρέφει τῷ ἐπιμαστιδίῳ καὶ τῷ νηπίῳ· διότι φαίνεται τὸ συνειδὸς κατὰ τοὺς ὕπνους ἢ ὅλως ἀδρανοῦν, ὥσπερ ἐν τῷ πρώτῳ καὶ τῷ δευτέρῳ κατὰ τοὺς πρώτους μῆνας, ἢ μόλις που ζῶν καὶ κινούμενον, ὡς ἐν τῷ τρίτῳ· τὴν οὖν τοιαύτην ἐν τῷ ὕπνῳ κίνησιν τῆς ψυχῆς ἢ ζωὴν καλοῦμεν ἐνύπνιον. Ἐπειδὴ δ' ἡ ψυχὴ καθόλου κινεῖται τὸ μὲν ὑφισταμένη τῶν ἐκτὸς ἐνεργείας, ὃ καλοῦμεν αἴσθησιν, τὸ δ' ἐνεργοῦσα ἢ τεινουσα πρὸς ἐνέργειαν, ὃ καλοῦμεν βούλησιν ἢ πρᾶξιν, ἔστι δὲ κυριωτάτη τῶν αἰσθήσεων ἡ ὅρασις, αἱ δὲ ταύτης ἐνέργειαι παραστάσεις, ἤτοι τινὲς τῶν αἰσθητῶν εἰκόνες τῇ ψυχῇ παριστάμεναι καὶ ἡ καθ' ὕπνους ἄρα ζωὴ παραστάσεσιν, ὡς τὸ εἰκός, ὁρατοῖς ὡς τὰ πολλὰ, τελεῖται, διὰ δὴ τοῦτο καὶ ὁρᾶν ἐνύπνιον ἢ ὄνειρον λέγομεν, οὐδ' ἔστι νοητὸν ἐνύπνιον ἄνευ ὁράσεως (εἰ μή τι τοῖς ἀμοιροῦσιν ὁράσεως, οἷς φασιν ἀκοῆς μόνον ἐν ὀνείρῳ γίνεσθαι δόκησιν). Ἐκ τούτου πρὸς εὐχερῆ καὶ σαρῆ τοῦ ἐνυπνίου νόησιν ἀνάγκη τὸ πρῶτον, ὥσπερ εἰκός, διασαρῆσαι τὰ τῆς ὁράσεως οὐκ ἄγνωστα τοῖς πλείοσιν ὄντα. Κοινῶς μὲν οὖν οἱ ἄνθρωποι νομίζουσιν εἶναι τοὺς ὀφθαλμοὺς οἷον εἴ τινα τῇ ψυχῇ παράθυρα, ὧν ἀνοιγομένων μὲν ἐκείνην ὁρᾶν, κλειομένων δὲ περιβάλλεσθαι σκότῳ· τὸ δ' οὐχ οὕτως ἔχει· ἔστι δὲ τῶν ὀφθαλμῶν ἡ ἐνέργεια εἰσαγωγική τις τῶν τοῦ αἰθέρος, ὡς φασιν οἱ φυσικοί, δονήσεων εἰς τὸν ἐγκέφαλον, εἰς ἐρεθισμὸν ἐξ ἐκείνων τῶν ἀμφιβληστροειδῶν ἐμβαλλομένων, ἐξ ὧν ἡ ψυχὴ φανταστικῶς ἐνεργοῦσα διὰ τοῦ ἰδίου ὀργάνου τ. ἐ. τοῦ ἐγκεφάλου, δημιουργεῖ προβάλλουσα πρὸς τὰ ἔξω τὴν τῶν εἰκόνων ἢ παραστάσεων τάξιν, ἣν κόσμον αἰσθητὸν ὀνομάζομεν. Ἔστιν ἄρα ὁ κόσμος ὁ ὁρατὸς οὐδὲν ἀλλ' ἢ φάντασμα καὶ ἡ ὅρασις φαντασία τις [2], διαφέρουσα τῆς ἄλλης, οὕτως ἰδίᾳ καλουμένης, τῷ τὰς αἰτίας ἔξω κεῖσθαι καὶ καθ' ἑαυ-

1. Τιὰς Ξ. 233 καὶ καθεῖξε.
2. Σ' 1—5.

1. Περὶ ὕπνου καὶ ἐγρ. 2.
2. «Τὸ αὐτὸ μέν ἐστι τῇ αἰσθητικῇ τὸ φανταστικόν, τὸ δ' εἶναι φανταστικῷ καὶ αἰσθητικῷ ἕτερον» κτλ. Ἀριστοτ. περὶ ἐνυπν.

τὰς καὶ ἀνεξαρτήτους ἡμῶν ὑπάρχειν, ἔτι δὲ τῷ τῇ ἀφῇ ἐξελέγχεσθαι καὶ βεβαιοῦσθαι. Ὥσπερ οὖν τὰ καθ' ὕπαρ, ὅσα μὴ τὴν αἰτίαν ἡμῶν ἐκτὸς ἔχουσιν, οὕτω καὶ τὰ κατ' ὄναρ φανταστὰ τὴν πηγὴν ἐν ἡμῖν ἔχοντα καὶ μὴ συναπτόμενα τοῖς πράγμασιν ἀμέσως οὐχ ὑπ' ἐκείνων, ἀλλ' ἐξ ἑαυτῶν ὡς τὰ πολλὰ κινοῦνται κατὰ τοὺς νόμους τῆς τῶν νοημάτων συναφείας ἢ συζεύξεως· ὥστε πρὸς εὐκρινῆ τοῦ ἐνυπνίου διορισμὸν ἀνάγκη διασαφῆσαι τὰ τῆς ῥηθείσης συζεύξεως, οἷα τ' ἐστὶ καὶ πῶς τελεῖται. Ἔστι μὲν οὖν τὸ λεγόμενον συνάφειά τις ἐν τοῖς νοήμασι τοιαύτη, ὥστε τὰ ἐν τῷ αὐτῷ χρόνῳ ἢ χώρῳ τῇ ἀκοῇ ἢ ταῖς ὄψεσι προσβαλόντα καὶ ὅσα ταὐτὰ ἢ ὅμοια καὶ ὅσα παντελῶς ἀνόμοια καὶ ἐναντία πάλιν ποτὲ τῇ ψυχῇ φαινόμενα συνεφέλκουσι τἄλλα, μεθ' ὧν ἄλλοτε συμπαρέστησαν, οἷον ὁ Πέτρος τὸν Παῦλον, ὁ Πυλάδης τὸν Ὀρέστην, ὁ ποταμὸς τὸ πλοῖον, ἡ θάλασσα τὴν νῆσον, ἡ ἑστία τὸ πῦρ, ἡ ἡμέρα τὸ σκότος, ὁ Φιρδουσῆς τὸν Ὅμηρον, ὁ σατανᾶς τὸν ἄγγελον, ἡ ὕλη τὸ πνεῦμα καὶ τὰ τοιαῦτα. Ἐπισκεπτέον δὲ πῶς αὕτη γίνεται. Οὐδεὶς βεβαίως ἀγνοεῖ τῶν παρόντων ὅτι ὁ ἐρεθισμὸς ὁ ὑπὸ τῶν δονήσεων τοῦ αἰθέρος ἐν τῷ ἀμφιβληστροειδεῖ γεννώμενος, ἐὰν ᾖ σφοδρὸς καὶ παρατεταμένος, οἷος ὁ ἐκ τῆς ὄψεως τοῦ ἡλίου ἢ ἑτέρου τινὸς τῶν ὁρατῶν περιλαμποῦς καὶ στίλβοντος, ἔστιν ὅτε διατηρεῖται χρόνον μακρὸν ὀχληρὸς μάλιστά που τῷ πάσχοντι καθιστάμενος [1]. Τὸν αὐτὸν οὖν τρόπον ἀποδεκτέον καὶ τὸν ἐγκέφαλον ὄντα κορμὸν ἢ στέλεχος τῆς νευρικῆς οὐσίας ἐρεθίζεσθαί τε καὶ διατηρεῖν τὸν ἐκ τῶν αἰσθητηρίων μετοχετευόμενον ἐρεθισμόν. Οὐδὲν δὲ θαυμαστὸν ὅτι ὁ κορμὸς ὁ νευρικὸς ἐπιδεκτικός ἐστι δονήσεων ποικίλων μυρίων ἐκ τῶν μυρίων αἰσθημάτων, ἤτοι τῶν μυρίων αἰσθητικῶν ἐρεθισμῶν, εἴ τις ἐν νῷ θεωρήσειεν ὅσων ἐστὶ καὶ οἵων ἐπιδεκτικὸς ὁ ἀὴρ κυμάνσεων ἢ δονήσεων, ἅτε τῶν τόνων καὶ τῶν ἁρμονιῶν καὶ τῶν ἤχων ἀριθμόν τε πάντα καὶ λογισμὸν ὑπερβαλλόντων, οἷόν ἐστιν ἰδεῖν ἐν ταῖς καλουμέναις ὀρχήστραις καὶ ταῖς μουσικαῖς συναυλίαις, ἔνθα μυρίων ἅμα τόνων ἀσυγχύτως ἀντιλαμβάνονται τὰ ὦτα. Ὥσπερ οὖν αἱ ποικίλαι τοῦ ἀέρος κυμάνσεις καὶ τὰ τούτων μήκη καὶ ὁ ἐν τῷ αὐτῷ τοῦ χρόνου μορίῳ ἀριθμὸς καὶ τὸ σχῆμα τὴν ποικιλίαν γεννῶσι τῶν ἤχων, οὕτω δύναιτό τις ἂν ἀποδέξασθαι καὶ τὰς τῶν ἐγκεφαλικῶν μορίων ἢ κυψελίδων δονήσεις καὶ τοὺς πολλοὺς αὐτῶν καὶ ποικίλους συνδυασμοὺς τὰ ποικίλα, ἁπλᾶ τε καὶ σύνθετα, γεννᾶν καὶ παρατιθέναι τρόπον τινὰ τῇ ψυχῇ νοήματα καὶ παραστάσεις. Συνῆπται τοίνυν αἴσθησις ἑκάστη καὶ νόησις ποιᾷ τινὶ μορίου τινὸς τοῦ ἐγκεφάλου δονήσει, ἧς τελεσθείσης ἅπαξ, αἱ κυψελίδες, ἐν αἷς ἐτελέσθη, κτῶνται, καθάπερ εἴπομεν ἀνωτέρω, τὴν ἕξιν τοῦ τὴν αὐτήν, ἀσθενεστέραν ὅμως, ὕστερον αὖθις ὁρίστασθαι δόνησιν, ὥστε δύνασθαι τὴν ψυχὴν διαγινώσκειν τοῦ φανταστοῦ ἢ μνημονευτοῦ τὸ αἰσθητόν, ὥσπερ εὐχερέστατα διαγινώσκεται τὸ ἐκ τοῦ βολβοῦ τῆς πιέσεως γενόμενον αἴσθημα χρώματος ἢ φωτὸς τοῦ ἐκ τοῦ ἡλίου. Ἀλλ' ἔστιν ὅτε διὰ νόσον ἢ τιν' ἄλλην αἰτίαν ὑπερερεθισμοῦ γενομένου κατὰ τὸ τοῦ ἐγκεφάλου χωρίον, ἐν ᾧ ποτε τελεσθεῖσα δόνησις ἀπέλιπέ τι λεῖψανον, ὥσπερ εἴρηται, τοῦτ' ἔστιν ἕξιν ἢ τάσιν εἰς τὸ δονεῖσθαι πάλιν, ἐκ τῆς ἴσης ἐντάσεως, ἣν οὕτως ἔλαβεν ἡ τοῦ χωρίου δόνησις, ἴσον λαμβάνουσι ταῖς ἀληθέσιν εἰκόσιν ἢ παραστάσεσι ζωηρότητος καὶ ἐναργείας βαθμὸν αἱ τῆς φαντασίας ἢ τῆς μνήμης, ὥστε μηκέτι διαγινώσκειν τὴν ψυχὴν τοῦ φανταστοῦ τὸ πραγματικὸν καὶ τοῦ *ἑτερῇ* τὸ *κάμῳ* κατὰ Δημόκριτον λαλοῦσιν, ὡς ἔσται δῆλον ἐν οἷς περὶ φαντασιώσεως ἐροῦμεν ἐν τοῖς ἀπωτέρω. Τὴν μὲν οὖν τοιαύτην, ἣν ὑποτιθέμεθα, τῆς ἐγκεφαλικῆς οὐσίας ἕξιν διὰ πολλῶν τις ἂν ὑποδείξειεν ἀναλόγων ἐν τῇ φύσει φαινομένων, ἐξ ὧν καθίσταται δῆλον ὅτι σῶμα στερεὸν οἱανοῦν ἔξωθεν ὑπὸ δυνάμεως ἑτέρας ὑποστὰν ἀλλοίωσιν οὐκέτι πάλιν ἀναλαμβάνει, καὶ μηκέτι τῆς δυνάμεως ἐκείνης ἐνεργούσης, τὸ πρῶτον εἶδος ἁπλῶς, ἀλλ' ἀεί τι διατηρεῖ τῆς ἀλλοιώσεως ἐκείνης ἴχνος. Οὕτω δὲ τούτων ἐχόντων καὶ παντὸς μὲν αἰσθήματος ἢ νοήματος οἰκείᾳ συνημμένου δονήσει, δονήσεως δ' ἑκάστης ἐν τοῖς ἐγκεφαλικοῖς μορίοις αἴσθημά τι ἢ νόημα γεννώσης, εὔληπτον ὡς ἐκ δυοῖν δονήσεων ἅμα τελεσθεισῶν ἡ μὲν ἀλλοιοῖ τὴν ἑτέραν. Οὕτω δ' ἀλλήλαις τῶν δονήσεων συνημμένων, ἡ τῆς μιᾶς ἐπανάληψις ὕστερον συνεπάγεται τὴν τῆς ἑτέρας. Ἡ μὲν οὖν καλουμένη *σύζευξις* ἢ συνάφεια νοημάτων τοῦτον ἂν ἴσως τὸν τρόπον ὡς οἷόν τε φυσικώτατα διασαφηθείη τὸ πρῶτον. Τὸ δὲ καλούμενον *ἐνύπνιον* [1], ὅπερ ὡς ἐν κεφαλαίῳ διωρί-

1. Αὐτόθι.

1. « Τὸ ἐν τῷ ὕπνῳ φάντασμα καλοῦμεν ἐνύπνιον », Ἀριστ. περὶ ἐνυπν.

σαμεν ὡς νηπιώδη τινὰ καθ' ὕπνους κίνησιν ἡ φαντασίαν τῆς ψυχῆς, ἐκ φαντασμάτων ἀποτελεῖται παρ' ἄλληλά τε καὶ μετ' ἄλληλα τῇ ψυχῇ παριστα μένων, ὅπως ὁ νόμος ὁ τῆς συζεύξεως αὐτὰ συνάπτει· κρατεῖ μὲν οὖν ὁ νόμος οὗτος καὶ ἐγρηγορότων ἡμῶν καὶ πᾶσα τῆς διανοίας ἐνέργεια τούτῳ συνῆπται καὶ τοῦτον ὅρον ἔχει, καθάπερ ἐν τῷ λέγειν ἢ γράφειν, ὑπόκειται μέντοι κατὰ τὴν ἐγρήγορσιν οὗτος τῇ μετὰ συνειδότος ῥυθμίσει τῆς ψυχῆς, ὥστε τὰς μὲν εἰς τὸ εὖ ἢ τὸ τέλος χρησίμους ἢ σπουδαίας τῶν παραστάσεων τηρεῖσθαι καὶ κατέχεσθαι, τὰς δ' ἀλυσιτελεῖς ἐκκρούεσθαι, ἐν δὲ τῷ ἐνυπνίῳ μετ' ἀκράτου τινὸς τελεῖται τῆς ἐλευθερίας, τῶν εἰκόνων ἀθρόων ἀλλήλαις καὶ ἄνευ τάξεως ἑπομένων τε καὶ συναπτομένων, ὃ συμβαίνειν εἴωθε καὶ πρὸ τοῦ ὕπνου, πολλάκις ἤδη τῷ νυσταγμῷ βαθμηδὸν ἡμῶν αὐτῷ παραδιδομένων.

Συγγενὲς δὲ τὸ τῶν ὀνειράτων φαινόμενον ἑτέροις ὁμοίοις ψυχολογικοῖς, οἷα ἡ φαντασίωσις, ἡ αἰσθητικὴ ἀπάτη, καὶ γεννᾶται δ' οὕτω τὸ ὄνειρον, ὅπως ἐκεῖναι, τὸ μὲν ἐξ ἐτοιμοδιατηρουμένων ἢ καθ' ὕπνον ἤδη γεννωμένων αἰσθητικῶν ἐρεθισμῶν, τὸ δ' ἐκ νοημάτων ἤδη τὴν ψυχὴν κατεχόντων. Ἐπειδὴ δ' ἐν πᾶσι τούτοις ἢ ὅλως ἐκλέλοιπεν ἢ πάνυ που συγχύνει γενόμενον ἀσθενές, ὡς πρότερον εἴρηται, τὸ αὐτὸ συνειδός, ἐκ τούτου τὰ τοιαῦτα φαινόμενα ἐκλαμβάνει ὡς ὄντα ἀληθῶς ἡ ψυχὴ καὶ ἐντεῦθεν ἡ κατ' ὄναρ ἀπάτη· διὰ τὸν αὐτὸν δὲ λόγον ἤτοι τὸν τοῦ συνειδότος ἐκ δὲ τούτου καὶ τῆς διανοίας ὑποβιβασμὸν εἰκότα καὶ δυνατὰ θεωρεῖ τά τε καθ' ὕπνον καὶ τὰ ἐν τοῖς ὁμοίοις ἀνωτέρω μνημονευθείσιν ὁρώμενα πάθεσι, τερατώδη πολλάκις καὶ παρὰ φύσιν ὄντα, πτῶσιν λ. χ. ἢ μετεωρισμὸν τοῦ σώματος, ὥσπερ ἐμοί πολλάκις αὐτῷ συνέβη, καὶ μορφὰς ἀνθρώπων ἢ ζώων καὶ τόπων ἢ πραγμάτων καὶ μεταμορφώσεις ἢ μεταβολὰς τερατώδεις. Ἔστι μὲν ὅτε (τοῦτο δὲ σπάνιον) ἐξεγερθέντος πη τοῦ συνειδότος ἐκ τοῦ προειχῆ τὴν ἐγρήγορσιν εἶναι, διαγινώσκει τὸ ψεῦδος ἡ ψυχὴ τοῦ φαινομένου καὶ τὸ ὀνειρῶδες (ἰδ. Ἀριστ. περὶ ἐνυπν. « πολλάκις γὰρ καθεύδοντες λέγει τι τῇ ψυχῇ ὅτι ἐνύπνιον τὸ φαινόμενον »).

Τοιοῦτον δὴ τὸ ἐνύπνιον μέσος τίς ἐστι βαθμὸς ὑπάρξεως μεταξὺ τῆς ἐντελοῦς ἀπουσίας τοῦ συνειδότος καὶ τοῦ συνειδότος αὐτοῦ· διὸ τὰ ἐνύπνια ἢ εὐθὺς ὡς τὰ πολλὰ ἀρξαμένου γεννῶνται τοῦ ὕπνου ἢ εὐθὺς πρὸ τῆς ἐξεγέρσεως, τὰ δὲ πλεῖστα ἐν ὕπνῳ οὐ βαθεῖ. Ἔστι δὲ τὸ ἐν ἐνυπνίῳ συνειδὸς οὐ παντελῶς κεχωρισμένον τοῦ ἀληθοῦς τοῦ ἐν τῇ ἐγρηγόρσει, ὡς γίνεται δῆλον ἐντεῦθεν ὅτι, ὅ,τι ἡμῖν ἐγρηγορόσι φίλον καὶ σπουδῆς ἄξιον, τὸ αὐτὸ καὶ ἐν ὀνείρασιν ἡμῖν ὡς τὰ πολλὰ καὶ τὰ τοῦ ἰδίου τῶν ἀνθρώπων ἕκαστος ὁρᾷ κατ' ὄναρ ἐπιτηδεύματος, ὁ κυνηγέτης ὅπλα καὶ πτηνὰ καὶ ἐλάφους καὶ λαγὼς καὶ δορκάδας, ὁ ἁλιεὺς ἰχθῦς καὶ δίκτυα καὶ γρίπους, ὁ στρατιώτης παρεμβολὰς καὶ μάχας, ὁ διπλωμάτης ἐπιστολὰς καὶ τηλεγραφήματα καὶ συμπόσια καὶ συναντεύξεις, ὁ δὲ ναυτίας ὁ κομψὸς χορεύς καὶ νεάνιδας καὶ θαλίας. Εὔκαιρον δ' ἐνταῦθα παραθεῖναι τὸ Κλαυδιανοῦ τοῦ Ρωμαίου τετράστιχον, οὗ τὸ κείμενον τὸ λατινικὸν ἀπὸν ἡμῖν ἐν τῷ παρόντι ἀναπληροῦμεν διὰ τῆς ἐμμέτρου τούτων ὑπὸ Φιλίππου Ἰωάννου τοῦ ἀοιδίμου καθηγητοῦ μεταφράσεως :

Ἤνίκα Δηρητὴρ κεκμηκότα γαῖ' ἀναπαύει
λέκτριος, εἰς ὅλας πλάζεται εἴδε νόος·
ἅρματα ἐνόχοισιν ἐνύπνια καὶ περίβρεκτον
ὕπνοις τέρμα· θέλει δ' ἀνδρὶ Δημιστοπόλῳ.

Ὡς τὰ πολλὰ μὲν οὖν εἰσι τὰ ἐνύπνια παραστάσεων ὁρμαθὸς ἀτάκτως ἐπιόντων, ἐλαχίστην ἢ μηδεμίαν πρὸς ἀλλήλας ἐχόντων συνάφειαν, ἀλλ' ἔστι, καίτοι σπανιώτατα, καὶ ὀνείρατα τάξιν ἔχοντα καὶ λελογισμένα παριστῶντα καὶ ῥήματα καὶ ἔργα. Ὅτι δὲ καὶ συμβολικῶς ἔστιν ὅτε παριστᾶσι τὸ μέλλον ἔσεσθαι οὐκ ἂν τις ὅλως ἀμφισβητήσειεν, οὐκ ὀλίγων τοιούτων ὑπ' ἀνδρῶν σοφῶν καὶ σπουδαίων ἀναφερομένων. Τῶν δὲ τοιούτων τὰ μὲν εὐχερῶς ἂν τις ἐξηγήσαιτο πρὸς τὴν οἰκείαν ἑκάστου διάνοιαν, ἃ καὶ καθ' ὕπνους ἄνευ τοῦ συνειδότος ἐργαζομένη φαίνεται πολλάκις, ἀποβλέπων, τὰ δὲ μένουσιν ὅλως ἀνεξήγητα τῷ συνήθει τρόπῳ, παραπλήσιά πως ὄντα τοῖς προαισθήμασι καλουμένοις. Τοιούτων δέ τινων ὀνειράτων ἡ γένεσις ἐν τῇ Παλαιᾷ Διαθήκῃ καὶ καθόλου τοῖς ἱεροῖς βιβλίοις ἀποδίδοται ἀμέσῳ τινὶ τοῦ θείου τοῦ διὰ πάντων διήκοντος καὶ προνοουμένου περὶ πάντων ἐνεργείᾳ, ὥσπερ ἡ τῶν Φαραὼ καὶ Ναβουχοδονόσορος τῶν βασιλέων (Γεν. 41 καὶ Δαν. 2). Τοιοῦτον δ' ἂν ἁμαρτῶς θεωρηθείη καὶ ὃ εἶδε νεανίας ὢν ὁ τῆς ἐνδόξου δυναστείας, ὑρ' ἣ διάγομεν εὐημεροῦντες, ἱδρυτὴς Ὀσμάνος, ὅπερ εἰς ἑξαμέτρους ποτὲ μετενηνοχότες παρεπέμψαμεν ὧδε τοῖς παροῦσι :

Νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ' Ἠώς,
ὕπνος δὲ γλυκίων μέλιτος βλεφάροισιν ἐφίζει,
ὕπνος λυσιμελής, μερόπεσσιν ἄκος καμάτοιο,
ἀτρεκέων δὲ μάλιστα προσίπταται ἔθνος ὀνείρων,
Ὀθμάνος ὀφθαλμοὺς μαλακῷ πεπεδημένος ὕπνῳ
Ἠϊεβάλοιο γέροντος ἀπὸ πλευρῆφιν ἐσεῖδεν
ἐξαπίνης προϊὸν Μήνης σέλας αὐξομένης ὡς
καί οἱ κλινάμενον κόλποισι μάλ' ἡγαθέοισιν,
αὐτίκα πλησιφαὴς ἐπεὶ εἵσατο δῖα Σελήνη.
Αὐτὰρ ἐπεὶ Μήνη κατεδύσατο κόλπον ἄνακτος,
αὐτίκ' ἀπ' ἰξυόφιν Θόρεν δένδρεον οὐρανόμηκες
τηλεθάον φύλλοισιν ἰδ' ἄνθεσι καὶ γλυκεροῖσιν
καρποῖς, τοῦ δέ τε Θεσπεσίη σκιὴ ἠελίοιο
ἀμφιλαφὴς ἐπύκαζε φάος, κατέκευθε δὲ πᾶσαν
γαῖαν ὁμῶς καὶ πόντον ἐς ὠκεανοῖο ῥέεθρα.
Τέσσαρα δ' ὑψιμέδοντθ' ὑπὸ δενδρέῳ οὔρε' ἔκειτο
Καύκασος ἐσχατόων Ταῦρός θ' Αἶμός τε μάλ' αἰπὺς
Ἄτλας θ', ὃς νώτοισι φέρει οὐρανὸν ἀστερόεντα,
κίονες ὣς κλισίης τανυμήκεος ἀκριτοφύλλου·
καὶ ποταμοὶ κελάδοντες ἐκεῖ ῥέον εὐρυρέεθροι
τέσσαρες, Εὐφράτεώ τε μένος Τίγρις τε καὶ Ἴστρος
Νεῖλός τ' Αἰγύπτοιο πατὴρ μέγας ὀλβιόδωρος.
Κρῆναι δ' ἐξ ὀρέων χέον ὑφόθεν ἀγλαὸν ὕδωρ,
ζωὴν μὲν πεδίοισι φέρον, ζωὴν δὲ νάπεσσιν·
πλεῖοι ἔσαν νηῶν ποταμοί, πλεῖαι δὲ θάλασσαι,
ἀγροὶ δὲ σταχύεσσι τεθήλεσαν, οὖρεα δ' ὕλαις·
τῇσι δ' ἐν ἀηδονίδες μινυρίσμασι μυριόφωνοι
μέλπον· ἐκ στομάτων ὅπα λειριόεσσαν ἰεῖσαι
δενδρέῳ ὑπὸ σκιερῷ, τῷ φύλλ' ἔσαν ὀξέα πάντα
καὶ μακρά, ξιφέεσσιν ἐοικότα δαιδαλέοισι·
μυρία δ' ἐν ναπέεσσιν ἐείδοντο πτολίεθρα
ἀγλαά, πυραμίδεσσιν ἀρηρότα καὶ μεγάροισιν
ὑψ' ὀθελοῖς νηοῖς θ' ἅμα πίσσι, θαῦμα ἰδέσθαι!
πύργοις θ' ὑψερέρεσσιν, ὅθεν λιταὶ ἐς Διὸν ἶσαν·
μιγνύμεναι κελάδοισιν ἀηδονίδων λιγυφώνων.
Εἶτε ποτ' ἐξαπίνης ἄνεμοιο βίη πτολίεσσι
φύλλ' ἐνέηκεν ἅπαντα, τὰ δένδρεον ἐστεφάνωτο,
Βύζαντος δὲ μάλιστα πόλει, πολίων βασιλείῃ,
ἠπείροιν πελαγίοιν τε δυοῖν μεσηγὺς ἐοῦσῃ
σαπφείροιν ἀνὰ μέσσον ἴδ' ἀνθρακίοιν ἀδάμας ὡς
δακτυλίῳ 'ν χρυσέῳ, τὸν δ' ὡς μέγας Ὀθμάνος ὦρτο
δακτύλῳ ἀμφιβαλεῖν, τότ' ἄνεμος μιν ἕβυσμος ὕπνος.

Εἶδον γὰρ βαλιὰν ἔλαφον λύκου αἵμονι χαλᾷ
σφαζομέναν, ἀπ' ἐμῶν γονάτων σπασθεῖσαν ἀνάγκᾳ[1],

τὸ τοῦ Βελλεροφόντου, ᾧ τὸ φανὲν ἐγένετ' αὐτίκα ὕπαρ ἐξ ὀνείρου[2], τὸ τῆς ἐν Ταύροις Ἰφιγενείας, ἣ τὸν πάτριον οἶκον ἰδοῦσα πεσόντα καὶ μόνον ὑπολειφθέντα στῦλον, ὃς ἔλαβεν ἀνθρώπου φθέγμα, συμβολικῶς ἐξηγεῖται τὸ ἐνύπνιον ὡς Ὀρέστου τοῦ ἀδελφοῦ τὸν θάνατον προαγγέλλον, ἅτε στύλων οἴκων ὄντων ἀρσένων παίδων[3], καί τινα μεμαρτυρημένα καὶ ἀληθῆ παρὰ νεωτέροις, περὶ ὧν παρακατιόντες ἐροῦμεν. Ὥσπερ δὲ πρότερον, οὕτω καὶ νῦν ἡμῖν ὁρμητέον ἀπὸ τοῦ πρώτου περὶ τούτων θεωρήσαντος Ἀριστοτέλους. Οὗτος ἐν ἀρχῇ τῆς «περὶ τῆς καθ' ὕπνους μαντικῆς» πραγματείας *πεισθῆναι* μέν φησιν οὐ πάνυ τι ῥᾴδιον εἶναι περὶ τούτων, ἀλλ' οὐδὲ καταφρονῆσαι πάμπαν, τὸ μὲν ἐκ τοῦ μηδεμίαν αὐτῶν ὁρᾶν αἰτίαν εὔλογον, τὸ δ' ἐκ τοῦ πολλοὺς ἢ πάντας ἔχειν τι σημειώδες ἡγεῖσθαι τὰ ἐνύπνια, ὡς ἐξ ἐμπειρίας οὕτω φρονοῦντας. Τὸ μὲν οὖν Θεὸν εἶναι τὸν πέμποντα τὰ τοιαῦτα τῶν ὀνειράτων ἄτοπον ὁ φιλόσοφος ὑπολαμβάνει διὰ τὸ μὴ τοῖς ἀρίστοις αὐτὰ καὶ σοφωτάτοις πέμπεσθαι, τούτου δ' ἀφαιρεθέντος, οὐδεμίαν ἄλλην εὑρίσκει τούτων αἰτίαν εὔλογον. Ἐπειδὴ δ' ἀνάγκη — φησίν — εἶναι τὰ ἐνύπνια τῶν γινομένων ἢ σημεῖα, ἢ συμπτώματα, ἢ αἴτια (σημεῖον μὲν οἷον ὁ ἕσπερος τῆς πρῴας, ἡ τοῦ σφυγμοῦ ταχύτης ἐν τῷ

1. Εὐριπ. Ἐκ. στ. 90.
2. Πινδ. Ὀλ. 13. 66.
3. Εὐρ. Ἰφιγέν. ἡ ἐν Ταύρ. 44. Ἔχει δὲ τὸ τῆς Ἰφιγενείας ὄνειρον αὐταῖς λέξεσιν ὧδε·

Ἔδοξ' ἐν ὕπνῳ τῆς δ' ἀπαλλαχθεῖσα γῆς
οἰκεῖν ἐν Ἄργει, παρθενῶσι δ' ἐν μέσοις
εὕδειν, χθονὸς δὲ νῶτα σεισθῆναι σάλῳ,
φεύγειν δὲ κἄξω στᾶσα θριγκὸν εἰσιδεῖν
δόμων πίτνοντα, πᾶν δ' ἐρείψιμον στέγος
βεβλημένων πρὸς οὐδας ἐξ ἄκρων σταθμῶν·
μόνος δ' ἐλείφθη στῦλος, ὡς ἔδοξέ μοι,
δόμων πατρῴων, ἐκ δ' ἐπικράνων κόμας
ξανθὰς καθεῖναι, φθέγμα δ' ἀνθρώπου λαβεῖν,
κἀγὼ τέχνην τήνδ' ἣν ἔχω ξενοκτόνον
τιμῶσ' ὑβρίσειν αὐτὸν ὡς θανούμενον,
κλαίουσα· τοὔναρ δ' ὧδε συμβάλλω τόδε·
τέθνηκ' Ὀρέστης, οὗ κατηρξάμην ἐγώ·
στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες.

Εἰσὶ δὲ καὶ παρὰ Σοφοκλεῖ Ἠλ., 408 καὶ ἑξ. καὶ παρ' Ὀβιδίῳ Μεταμορφ. 7, 634 καὶ ἑξ. καὶ 824 καὶ ἑξ. Ἔτι δὲ τῶν νεωτέρων ἱκανὰ τοιαῦτα παρὰ Σαιξπήρῳ τῷ Ἀγγλῳ καὶ παρὰ Γοτθίῳ καὶ Σχιλλέρῳ τοῖς Τεύτοσι.

Ὅμοια δέ, καίπερ ὄντα μυθικώτερα, ἃ Μόσχος ὁ ποιητὴς ἀφηγήσατο τῆς Εὐρώπης καὶ τῆς Ἀλκμήνης τῆς Ἡρακλέους μητρὸς ἐνύπνια. Ταῦτα, καθάπερ τὰ καλούμενα προαισθήματα, προαγγέλλειν πῃ δοκοῦσι τὸ μέλλον ἔσεσθαι τῷ ἰδόντι αὐτῷ ἢ ἑτέροις, οἷα πρὸς ἄλλοις εἰσὶ πολλοῖς, ὡς ἄνω ἐλέγομεν, τὰ ἐν τῇ Βίβλῳ (τοῦ Ἰωσήφ, τοῦ Φαραώ, τοῦ Ναβουχοδονόσορος), τὰ παρ' Ἕλλησι μυθικά, τὸ τῆς Ἑκάβης, ἢ συμβολικῶς αὐτῇ προαγγελθεῖσαν εἶδε τὴν Πολυξένης σφαγὴν τῆς θυγατρός:

πυρετῷ, σύμπτωμα δ', οἷον τὸ συμβῆναι τὴν ἔκλειψιν ἄδοντος ἢ βαδίζοντος, αἴτιον δ', οἷον ἡ ἐν συζυγίᾳ σελήνη κατ' ἔκλειψιν ἡλίου), σημεῖα μὲν ὅτι ἂν εἶεν ἔν τισιν, ἔστι δ' ὅτε καὶ αἴτια τῶν γινομένων ὁμολογεῖ ὁ φιλόσοφος, τὸ μὲν πρῶτον ἐκ τοῦ πάντων μὲν εἶναι τὰς ἀρχὰς μικρὰς καὶ δὴ καὶ τῶν νόσων καὶ τῶν ἄλλων ἐσομένων ἐν τῷ σώματι παθημάτων, τὰς δὲ τοιαύτας ἀρχὰς μεθ' ἡμέραν μὲν κινουμένας[1] λανθάνειν παρὰ μείζους τὰς ἐγρηγορικὰς κινήσεις, ἐν δὲ τοῖς ὕπνοις εἶναι καταφανεστέρας[2]· «Καὶ γάρ (φησιν) ἐν τῷ καθεύδειν αἱ μικραὶ μεγάλαι δοκοῦσιν εἶναι, ὥσπερ οἴονταί τινες κεραυνοῦσθαι καὶ βροντᾶσθαι, μικρῶν ἤχων ἐν τοῖς ὠσὶ γιγνομένων[3], καὶ μέλιτος ἀπολαύειν, ἀκαριαίου ῥεύματος καταῤῥέοντος». Τὸ δὲ δεύτερον ἐκ τοῦ ἐναντίου «ὥσπερ γὰρ» – λέγει – «μέλλοντες πράττειν καὶ ἐν ταῖς πράξεσιν ὄντες ἢ πεπραχότες πολλάκις εὐθυονειρίᾳ τούτοις σύνεσμεν καὶ πράττομεν (ἕνεκα τοῦ προωδοποιῆσθαι τὴν κίνησιν ἀπὸ τῶν μεθ' ἡμέραν ἀρχῶν), οὕτω πάλιν ἀναγκαῖον καὶ τὰς καθ' ὕπνον κινήσεις πολλάκις ἀρχὴν εἶναι τῶν μεθ' ἡμέραν πράξεων διὰ τὸ προωδοποιῆσθαι πάλιν καὶ τούτων τὴν διάνοιαν ἐν ταῖς νυκτερινοῖς φαντάσμασιν». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι: τοτὲ μὲν ἐρεθισμοὶ δηλωτικοί τινες νόσου τοῦ σώματος ἢ πάθους, ἢ τοὐναντίον μένοντες ἀπαρατήρητοι μεθ' ἡμέραν ἕνεκα τοῦ σπουδαιοτέρας καὶ μείζοσι κατειλῆφθαι τὸ συνειδὸς ἐναργεστέρας καὶ μείζονας ἐν ὕπνῳ γεννῶσι παραστάσεις (ὥσπερ ἑκάστῳ που δῆλον ἐκ τῆς ἰδίας ἐμπειρίας), ἐκ δὲ τούτου σημεῖα τρόπον τινὰ καθίστανται τῶν εἴτα μεθ' ἡμέραν ἐν τῷ σώματι συμβαινόντων, τοτὲ δὲ παραστάσεις ἐν ὕπνοις φανεῖσαι καὶ τρόπον δή τινα προοδοποιήσασαι τὰς μεθ' ἡμέραν πράξεις αἰτιά πῃ καθίστανται τούτων. Τὰ δὲ πλεῖστα *συμπτώματα* τῶν γινομένων ὁ φιλόσοφος ἡγεῖται, μάλιστα δ' ὅσα ξένα τινὰ καὶ (κατὰ τὴν ἐκείνου λέξιν) *ὑπερβατὰ* καὶ πόρρω συμβαίνοντα παριστᾶσιν. Ἔστι δ' οἷον: ὅταν ἀνθρώπου τινὸς ἑτέρου ποιουμένου μνείαν, ἐκεῖνος ἄρνω παραστῇ (ὁπότε καὶ χαριέντως ἐπιφωνεῖν εἰώθασι τὸ παροιμιῶδες: εἰς τὴν *φωτήν* . . . . .), οὐδαμῶς αἰτίου, δῆλα δή, τῷ παραστῆναι τῆς μνείας οὔσης, ἤ, ὅταν, ὡς οὐ πάνυ τι σπάνιον ἰδεῖν, κυβευόντων δυοῖν, εἰπόντος τοῦ ἑτέρου τὸν ὑπ' αὐτοῦ ποθούμενον ἀριθμόν, οἷον «δὶς ἓξ», οἱ κύβοι τοῦτον δείξωσι τὸν ἀριθμὸν ὥσπερ αἴσθησιν ἔχοντες καὶ τὸ ζητηθὲν ἐπιτελεῖν προθυμούμενοι. Ὅθεν ὁ φιλόσοφος, «ὥσπερ οὐδὲ τὸ μνησθῆναι» — φησί — «σημεῖον ἢ αἴτιον τοῦ παραγενέσθαι, οὕτως οὐδὲ τοῦ ἀποβῆναι τὸ ἐνύπνιον τῷ ἰδόντι σημεῖον ἢ αἴτιον, ἀλλὰ σύμπτωμα». Ἐπειδὴ δ' οὔτ' ἀεὶ οὔθ' ὡς τὰ πολλὰ τὰ συμπτώματα συμβαίνουσι, «καὶ πολλὰ» — φησί — «τῶν ἐνυπνίων οὐκ ἀποβαίνει». Ἀρχὴν μὲν οὖν τινα τοῖς ἐνυπνίοις εἶναι *θείαν* ἕνεκα τῶν ἄνω ῥηθέντων οὐχ ὁμολογεῖ ὁ φιλόσοφος, ἀλλά τιν', ὡς φησι πανθεϊστικώτερον, *δαιμονίαν* ἐκ τοῦ τὴν φύσιν εἶναι θείαν μὲν οὖ, δαιμονίαν δὲ κατ' ἐκεῖνον· «διὸ καὶ πάνυ» — φησιν — «εὐτελεῖς ἄνθρωποι προορατικοὶ εἰσι καὶ εὐθυόνειροι»· συμβαίνειν δὲ μάλιστα τοῦτο φησὶ τῶν ἀνθρώπων ὅσοις μελαγχολικὴ καὶ λεπτὴ ἡ φύσις, οἳ παντοδαπὰς ὁρῶσιν ὄψεις, ἐκ δὲ τούτου κατὰ τὴν παροιμίαν «ἂν πολλὰ βάλῃς, ἄλλοτ' ἀλλοῖον βαλεῖς» ὁμοίοις ἐπιτυγχάνουσι θεωρήμασιν.

Ἐξ ὧν οὖν ἄχρι τοῦδ' εἰρήκαμεν γίνεται δῆλον ὡς ὁ πρῶτος περὶ τούτων πραγματευθεὶς Ἀριστοτέλης, οὐκ ἀποδεχόμενος ὅλως τὸ παρὰ Θεοῦ πόθ' ἑνύπνιον πέμπεσθαι, τὸ μὲν διὰ συμπτώσεως ἐξηγεῖται τὴν εὐθυονειρίαν, τὸ δὲ διὰ τοῦ τὰς ἀρχὰς ἐνεῖναι τῷ ἐνυπνιάζοντι τῶν ἀποβήσεσθαι μελλόντων ὡς αἴτια ἢ σημεῖα, τὸ δὲ καὶ τῷ δαιμονίῳ τῆς φύσεως εἰς τὸ πανθεϊστικώτερον, ὥσπερ ἔφθημεν εἰπόντες, ἅτε μορίου καὶ τοῦ ἀνθρώπου τῆς φύσεως ὄντος. Τὸ μέντοι ταῖς ἀληθείαις ἐωρακέναι τῶν ἀνθρώπων ἑνίους ὀνείρατα προδηλωτικὰ τῶν ἐσομένων ἔξω πάσης ἐστὶν ἀμφιβολίας, ἀξίων πίστεως ἀνδρῶν ἀφηγησαμένων. Ποιεῖται δὴ τοιούτων μνείαν ὁ ἀκαδημαϊκὸς Ἀλφρ. Maury καὶ ὁ ἰατρὸς Μ. Σίμων, ἄμφω Γαλάται τὸ γένος. Ἐκ μὲν οὖν τῆς τοῦ πρώτου πραγματείας «Ὁ Ὕπνος καὶ τὰ

---

1. *Κινεῖσθαι* λέγει καὶ *κινήσεις* ὁ φιλόσοφος ἅπερ ἡμεῖς καλοῦμεν ἐρεθισμούς, ἐξ ὧν αἱ παραστάσεις ἢ αἰσθήσεις.

2. Τούτοις ὁμολογοῦντα λέγει καὶ ὁ Γαλάτης ἰατρὸς Tissié (Les Rêves etc. σελ. 60)· « Les maladies débutent généralement par un travail pathologique lent, quelque fois inconscient à l'état de veille, mais qui peut devenir très-sensible à l'état de sommeil et provoquer les rêves, qui ont des rapports plus ou moins sympathiques avec l'organe lésé ».

3. Ἐμοί ποτε, ὑπνοῦντι οὐ πάνυ βαρβάτου πίπτειν ἀρξαμένου νάκτωρ, ἔδοξε κονιορτὸν τὴν οἰκίαν ὑπὸ σεισμοῦ κατασσεῖν ἀθρόον· ἐξεγρόμενος δ' ὑπὸ τῆς ταραχῆς ἐν οὖπω σαφεῖ τῷ συνειδότι ἄτοπον ἔδοξε καὶ παρ' ἐλπίδα τι, τῆς οἰκίας ἐρειφθείσης, ἐμὲ ζωὸν ὑπολελεῖφθαι καὶ σῶον.

Ἐνύπνια» («Le Sommeil et les Rêves») παρατίθεμεν ἐνθάδε δύο τάδε:

α) Ἀνὴρ Γαλάτης, ὁ Φ., παῖς ὢν εἶχεν ἐπισκεψάμενος τὰ τῆς Montbrison περίχωρα, πόλεως γαλατικῆς ἐν τῷ νομῷ Loire, ἔνθα καὶ ἦν ἀνατεθραμμένος. Ὢν δ' ἀπόδημος ἐπὶ πλείστον, ἔτεσιν ὕστερον εἴκοσιν ἐπεθύμησε θεάσασθαι τοὺς τόπους, ἐν οἷς ποτ' ἦν διελήλυθὼς τὴν παιδικὴν ἡλικίαν, καὶ τοὺς πάλαι φίλους ἰδεῖν. Μέλλων οὖν ἀποδημεῖν εἰς Forez εἶδε τῇ προτεραίᾳ κατ' ὄναρ ὡς ἀφιγμένος εἰς τὸ τῆς ὁδοιπορίας τέρμα καὶ ὢν οὐχὶ πόρρω τῆς Montbrison ἐν τόπῳ, ὃν οὔπω πρότερον εἶχεν ἰδών, ὁρᾷ τιν' ἄγνωστον, οὐ μανθάνει τοὔνομα· ἦν δὲ φίλος τοῦ πατρὸς αὐτοῦ, ὃν εἶδε μὲν ἀληθῶς ἔτι παῖς ὤν, ἀλλὰ διὰ χρόνου μῆκος ἠμέμνητο τοῦ ὀνόματος μόνου. Ἀφικόμενος οὖν ἡμέραις ὕστερον εἰς Montbrison ἐξεπλάγη τόν τε τόπον εὑρών, ὃν εἶδε κατ' ὄναρ καὶ τῷ κυρίῳ Φ. συναντήσας, ὃν ἀνεγνώρισεν ὄντα τὸν ὄναρ αὐτῷ φανέντα πλὴν ὅτι πως ἦν ἐκείνου πρεσβύτερος τὴν ὄψιν.

β') Αὐτὸς ὁ κ. Maury συνεχῶς ἑώρα κατ' ὄναρ ἄνδρα φοροῦντα πῖλον εὐρύν, ἔχοντα δ' ὄψιν ἰδίαν οἱουεί τινος ἐξ Ἀμερικῆς Ἀγγλοσάξωνος. Ὄντα δέ (φησίν) ὅλως ἄγνωστον ἐνόμιζέ τι τῆς φαντασίας εἶναι πλάσμα τὴν ὄψιν. Ἐξεπλάγη δὲ μετὰ μῆνας πολλοὺς ἰδὼν ἐκεῖνον ὁμόσε καθ' ὁδὸν ἰόντα ἁπλῶς τοιοῦτον, οἷος αὐτῷ κατ' ὄναρ ἐφαίνετο καὶ ταὐτὰ φοροῦντα.

Ἐκ δὲ τῆς τοῦ δευτέρου («Ὁ τῶν ὀνειράτων κόσμος», («Le monde des Rêves»), σ. 65) δανειζόμεθα τάδε: α') Γυνὴ Γαλάτις οἰκοῦσα ἐν Σαιγόνι, πρωτευούσῃ τῶν ἐν Κοχιγκίνῃ γαλατικῶν ἀποικιῶν, ἀποδημήσειν ἔμελλεν ἐκεῖθεν ἐπὶ ἀτμοκινήτου πολεμικῆς εἰς τὴν μεσόγαιαν ἀνὰ τὸν ποταμὸν Μεκόγγαν, ὅτε τῇ προτεραίᾳ νύχθ' ὅλην ἐτύγχανεν ὁρῶσα πυρκαϊὰς καὶ ναυάγια κατ' ὄναρ· μετὰ δὲ τὴν ἑκάστοτε τῆς γυναικὸς ὑπὸ φόβου καὶ ταραχῆς ἐξέγερσιν ἐπανήρχοντο τὰ φαντάσματα σφοδρότερα· ἀπέπλευσεν οὐχ ἧσσον ἡ γυνή· τοῦ λέβητος ὅμως ἐπὶ τοῦ πλοῦ διαρραγέντος, κατακαεῖσα ῥιπωδῶς ἐτελεύτησε μετ' ὀλίγον.

β') Ἱερεὺς εὐαγγελικὸς Οὐλρίκης ὀνόματι φίλον εἶχεν ἱερέα τῆς γειτονος κώμης. Τούτῳ ποτέ, παντελῶς ὑγιαίνοντι, περὶ προσεχοῦς αὐτοῦ θανάτου διαλεγομένῳ μὴ πειθόμενος, ὡς τὸ εἰκός, ἀποτρέπειν ἀπὸ τῶν τοιούτων ἐπειρᾶτο σκέψεων· ἡμέραις ὅμως ὕστερον οὐ πολλαῖς ὁρᾷ τὸν φίλον ὄναρ ὑπ' ἀφνιάσαντος ἀγόμενον ἵππου πεσόντα καὶ καταθλασθέντα τὴν κεφαλὴν ἐν ὁδῷ τινι τῶν συνήθων. Ἀφ' οὗ δ' ἐξηγέρθη δακρύων ὅλην αὐτὸν ἡμέραν ὀδυρόμενον ἐπὶ βεβαίῳ τοῦ φίλου θανάτῳ ἐχλεύαζέ πως ἡ γυνὴ παραμυθουμένη. Ἀλλ' οὐχ ἧσσον ἐξερχόμενος ἔπειτα σὺν τῇ συζύγῳ πρὸς περίπατον Οὐλρίκης ὁ ἱερεὺς ἀνεκοίνωσε τῇ παιδίσκῃ τὴν ὁδόν, ἅτε πεπεισμένος ὡς ἐλεύσονται ζητοῦντες αὐτὸν ἀπὸ τῆς γειτονος κώμης. Τῷ ὄντι δ' ἐπανερχόμενος ὁρᾷ τὴν παιδίσκην ἐρχομένην εἰς ὑπάντησιν αὐτῷ καὶ λέγουσαν ὡς ἦλθον ἄνθρωποι ζητοῦντες αὐτὸν ἐκ τῆς γειτονος κώμης, ἵνα τελέσῃ βάπτισμα. Ἀλλ' αὐτὸς ἐνόησεν εὐθὺς τὴν ἀληθῆ αἰτίαν. Ὄντως εἶχε πρὸ μικροῦ τελευτήσας ὁ φίλος.

Ἔστω δέ μοι προσθεῖναι τούτοις ἕτερα γεγονότα, ὧν τὸ μὲν ἐνθάδε συνέβη ἀνδρὶ φίλῳ ἰλλογίμῳ τε πάνυ καὶ παιδείας οὐκ ἀμοιροῦντι, τὸ δέ που κατὰ τὴν Μικρὰν Ἀσίαν, τὸ δὲ τρίτον καὶ παραδοξότερον ἐν Γερμανίᾳ. Ὁ φίλος ἔτι νεώτατος ὢν εἶχε φίλον, ὃς ἀπεδήμησεν ὕστερον εἰς Ῥωσίαν. Ἐτῶν δὲ πολλῶν παρελθόντων, ἐν οἷς οὐδὲν οὐδέποτ' ἔτυχεν ὑπὲρ ἐκείνου φροντίσας, εἶδε κατ' ὄναρ αὐτὸν ὑπαντήσαντα καθ' ὁδὸν ἑαυτῷ καὶ προσειπόντα. Τῇ δ' ὑστεραίᾳ κατερχόμενος τὴν εἰς Γαλατᾶν εἶδε τῷ ὄντι τὸν φίλον ἐπανελθόντα πρὸ ὀλίγων ὡρῶν ἐκ Ῥωσίας, ὃς καὶ προσείπεν αὐτὸν ἀναγνωρίσας. Ἐν δὲ χωρίῳ τινὶ τῆς Μικρᾶς Ἀσίας τῇ ἡμέρᾳ τοῦ Πάσχα κατὰ τὴν δευτέραν Ἀνάστασιν γυνὴ πρεσβῦτις ἐν τῇ τοῦ ναοῦ γυναικωνίτιδι καθημένη διὰ τὸ γῆρας ὑπνωσεν· ἔδοξεν οὖν αὐτῇ κατ' ὄναρ ἀνθρώπους ἐν κώμῃ γειτονι θεωμένους τὴν ἐκεῖ τελετὴν ἀπὸ στέγης καταπεσεῖν καὶ τοὺς μὲν ἀποθανεῖν αὐτίκα, τρωθῆναι δὲ καὶ δεινὰ παθεῖν τοὺς ἄλλους. Ἐκείνη μὲν ἐξεγειραμένη διηγήσατο ταῖς παρεστώσαις ἃ κατ' ὄναρ εἶδε, μετὰ δὲ χρόνον οὐ μακρὸν ἀφίκοντό τινες ἐκ τῆς κώμης ἀγγέλλοντες τὸ γεγονός, οἷον ἔδοξεν ἐκείνῃ γενέσθαι. Ἐν Γερμανίᾳ δέ, ἐν τῇ πόλει Γοτίγγῃ, κυρίαι δύο, ἡ διδάκτειρα Π. καὶ ἡ δεσποινὶς W., ἐξ ὄψεως μόνης ἀρ' ὧν ἐποιοῦντο περιπάτων ἀλλήλας γινώσκουσαι, πάσχουσαι δ' ὑπὸ νόσου ῥθινάδος ἠρώτων ἑκατέρα περὶ τῆς ἑτέρας ἐπισκεπτόμενον ἑκάστοτε τὸν κοινὸν ἀμφοῖν ἰατρὸν Κ. Γ. Θ. Ρύτιον (Rüte), ὃς ἀρηγείται ταῦτα [1]. Ἔκρυπτε δ' οὗτος, ὡς τὸ εἰκός, αὐτῶν ἑκα-

1. Ueber die Existenz der Seele von Naturn. Standpunkte.

τέραν τὰ περὶ τὴν ἑτέραν· καὶ τῆς μὲν δεσποινίδος ἦν ἡ νόσος καλπάζουσα καὶ ἦν ἤδη κλινήρης, ἡ δὲ διδάσκαλος οὔπω. Νυκτὶ δέ τινι περὶ τὴν δευτέραν μετὰ τὸ μεσονύκτιον ὥραν ὁ ἰατρὸς κληθεὶς κατὰ σπουδὴν εἰς τῆς διδασκάλου τὴν οἰκίαν εὗρεν ἤδη τὰ λοίσθια πνέουσαν, ὀλίγῳ δ' ὕστερον ἀποθανοῦσαν. Ὥραν δ' ἡμίσειαν ἐκεῖ παραμείνας ἀπῆλθε πορευόμενος οἴκαδε· καθ' ὁδὸν ὅμως ἐπῆλθεν αὐτῷ καὶ τὴν ἑτέραν ἰδεῖν ὡς εἶχεν. Ἐλθὼν οὖν ἐκεῖσε καὶ τῷ σημείῳ χρησάμενος, ᾧ νύκτωρ αὐτῷ τὴν θύραν ἀνοίγειν εἰώθεσαν, εἰσῆλθεν. Εἶδε δ' εἰσελθὼν ὑπαντήσασαν αὐτῷ τὴν μητέρα τῆς νοσούσης λέγουσαν, ὡς αὐτῆς ἡ θυγάτηρ ἡμισείᾳ πρότερον ὥρᾳ εἶδεν ἐνύπνιον θαμβητὸν τῷ παραδόξῳ· ἐξεγερθεῖσα μεθ' ὕπνον ἥλαρρὸν ἀνερώνησεν αἴφνης ὀρθωθεῖσα: «Ἡ διδάσκαλος ἤδη τὸ ζῆν ἐκλιποῦσα καί μοι περιλαμπεστάτη φανεῖσα διαρρήδην εἶπεν ὡς μέλλω κἀγὼ τελευτήσασα μετὰ μικρὸν ἐκείνῃ συναποδημήσειν». Εἰσελθὼν οὖν ὁ ἰατρὸς εἰς τὸ τῆς νοσούσης δωμάτιον εὗρεν αὐτὴν ἐν τῇ κλίνῃ καθημένην ἥσυχον καὶ φαιδράν, συγκεκινημένην ὅμως καὶ φοινίσσουσαν τὰς παρειάς, ὑγρὰν δὲ τὸ μέτωπον. Ἀρνήσατο μὲν οὖν καὶ αὐτὴ τῷ ἰατρῷ ταῖς συνήθεσι λέξεσι τὸ γεγονός, ἐκ τῆς ὥρας ὅμως ἐκείνης εἰς τὸ χεῖρον ἀεὶ τῆς νόσου χωρούσης, ἐτελεύτησε τῇ αὐτῇ ἡμέρᾳ· συμπίπτον δ' εὗρε λογισάμενος ὁ ἰατρὸς τὸ γενόμενον ἀκριβῶς τῇ ὥρᾳ, καθ' ἣν ἀπέθανεν ἡ ἑτέρα.

Τοιούτοις ὁμοίως ἢ καὶ μᾶλλόν εἰσι δυσεξήγητα τὰ προαισθήματα, περὶ ὧν ἐποιησάμεθα μνείαν ἀνωτέρω [1], δι' οὐκ ὀλίγων βεβαιούμενα γεγονότων. Ὀλίγα δὲ πάνυ παρατίθεμεν ἐνθάδε δανεισάμενοι παρὰ τοῦ κ. M. Simon.

α) Ἡ ἡγεμονὶς de Conti κατ' ὄναρ εἶδεν ἑτοιμόρροπον τὸ τοῦ μεγάρου μέρος, ἐν ᾧ ἐκοιμῶντο τὰ ἴδια τέκνα. Ταραχθεῖσα δὲ καὶ ἐξεγερθεῖσα τῷ φόβῳ προσεκάλεσέ τινας τῶν θεραπαινίδων, ἐγγὺς ἐκεῖ κοιμωμένων. Ἐκείναι μὲν οὖν αὐτίκα προσελθοῦσαι πεῖθειν ἐπειρῶντο περὶ τοῦ ψεύδους ἐνυπνίου παντὸς κατὰ τὴν παροιμίαν· ἐπιμενούσης δὲ τῆς δεσποίνης, ἥ τε παιδαγωγὸς καὶ αἱ τροφοὶ προσεποιήσαντο μὲν ἐπὶ στιγμὴν ὑπακοήν, ἐπανελθοῦσαι δ' εἶπον ὡς ἦν ἂν ἀπάνθρωπον ἐξεγεῖραι καὶ ταράξαι τοὺς ἡγεμονίδας ἡσυχῇ κοιμωμένους· ἡ δὲ τὴν ἐπιμονὴν αὐτῶν ὁρῶσα τὴν ἑαυτῆς ἐζήτησε σοβαρῶς ἱππέστριδα· μὴ δυνάμεναι τοίνυν ἀντειπεῖν αἱ θεράπαιναι μετήγαγον εὐθὺς τοὺς παῖδας εἰς τὸν κοιτῶνα τῆς μητρός, οὗ γενομένου, κατέπεσε μετὰ μικρὸν ἐκεῖνο τὸ μέρος.

Ἔστι μὲν οὖν ἐνύπνιον τὸ γεγονός, ἐμφαίνει τι μέντοι κομιδῇ προαισθηματικόν, τὰ δ' ἑπόμενα καθαρῶς εἰσι προαισθηματικά.

β) Γυνή τις ἐπισκεπτομένη φίλην οἰκοῦσαν οὐκ ἐγγὺς ἔσχε φάντασμα τὴν ἀδελφήν, ἣν ὑγιᾶ καὶ σῶαν εἶχεν οἴκοι καταλιποῦσα, ἐν κινδύνῳ δεινῷ γεγονέναι. Ἐπανελθοῦσα δὲ κατὰ σπουδὴν ἔμαθε παρὰ τῶν οἰκείων ὅτι δεινῇ συνέσχητο, αὐτῆς ἀπούσης, αἱμορροΐᾳ.

γ) Ἀνήρ, ἐξεληλυθὼς τῆς οἰκίας ἤδη χρόνον πολύν, ἐπανήκων ἐσπέρας ἔλαβε φάντασμα τῆς οἰκίας καιομένης, ἣν ᾤκει· σπουδῇ δ' ἐκ τούτου χωρῶν ὑπήντησε μετὰ μικρὸν ἀνθρώπῳ πυρκαϊὰν ἀγγέλλοντι πρὸ ἡμισείας ὥρας ἐν τῇ οἰκίᾳ τῇ αὐτοῦ ἐκραγεῖσαν.

Πλείονα δ' ἄν τις εὕροι τοιαῦτα παρὰ τοῖς Ρωμαίοις Κικέρωνι (ἐν τῷ Divinatione), Σουετωνίῳ καὶ Οὐαλερίῳ Μαξίμῳ, οὐκ ὀλίγα δὲ καὶ παρὰ τῷ εὐσεβεῖ καὶ θαυματολόγῳ Πλουτάρχῳ, ἃ συντομίας ἕνεκα παραλείπομεν. Περὶ μὲν οὖν τῶν ἐνυπνίων, ἐν οἷς, ὡς ἔοικε, προδηλοῦταί πῃ τὸ μέλλον ἔσεσθαι, καὶ τῶν προαισθημάτων, εἴτε συμπτώματα ταῦτα θεωρητέον εἴτε τῷ δαιμονίῳ τῷ τῆς φύσεως ἐξηγητέον, ὥσπερ Ἀριστοτέλει δοκεῖ, χωρὶς τοῦ συνειδότος αἰσθήσεώς τιν' ἐν ἡμῖν ἐνέργειαν ἀπὸ πόρρω κινουμένων ἐν ὕπνοις ἢ καὶ μεθ' ἡμέραν ἀποδεχομένοις εἴτε καὶ τινι τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἐν τοῖς ὕπνοις, ὥσπερ φήθησάν τινες, ἐξόδῳ καὶ θεωρίᾳ τῶν πόρρω που τελουμένων, εἰρήσθω τοσαῦτα. Ἐπειδὴ δ', ὥσπερ Ἀριστοτέλης εἴρηκε, τῆς φαντασίας ἐστί τι γέννημα τὸ ἐνύπνιον, ἀπόντος ἢ πάμπαν ἠμαυρωμένου τοῦ αὐτὸ συνειδότος, ἐκ δὲ τούτου συγγενὲς ἑτέροις, ὡς εἴρηται, φαινομένοις, οὐ σμικρὸν ἂν εἰς τὴν ἐκείνου συμβάλοιτο διακόρησιν ἡ τούτων ἐξέτασις καὶ θεωρία. Εἰσὶ δ', ὥσπερ εἴπομεν, ἡ φαντασίωσις, ἡ ἔκστασις, ἡ ὑπνοβασία, ἡ μανία καὶ τὰ τοιαῦτα.

Ἡ μὲν οὖν φαντασίωσις (hallucinatio, hallucination) ἐστί τις οἷον αἴσθησις ἐξ οὐκ ὄντων ἀπατηλή, καθάπερ ἐν τοῖς ὀνείρασιν, ὑπαρ αὐτὴ γινομένη· διαφέρει δὲ τῆς ἁπλῆς τῶν αἰσθήσεων ἰδίᾳ δὲ τῆς ὁράσεως ἀπάτης (illusion) τῷ γίνεσθαι ταύτην ἐξ ὄντος μὲν οὐκ ὀρθῶς δέ, τὸ μὲν δι' ἀσθένειαν ὀργάνου, τὸ

1. Ἴδε ἀνωτέρω σχετικὴν σελίδα.

δὲ καὶ διὰ δόξαν ἡμαρτημένην. Εἰσὶ δὲ τούτων αἱ μὲν ἀδιόρθωτοι παντελῶς, αἱ δὲ διορθωταὶ τῇ κρίσει· ἀδιόρθωτοι μὲν οἷα τῆς σελήνης ἡ κατὰ τὸν ὁρίζοντα διάμετρος φαινομένη μείζων ἢ ἡ κατὰ τὴν κορυφήν, καὶ ἡ τῆς γῆς ἐπιφάνεια φαινομένη κοίλη τοῖς ἀεροναύταις, αἴτιον δὲ τοῦ μὲν πρώτου, καθ' ἃ γινώσκουσι πάντες, ἣν ἔχομεν δόξα περὶ μείζονος ἐκείνης ἀποστάσεως, ὅταν ᾖ κατὰ τὸν ὁρίζοντα ἢ ὅταν ὁρῶμεν αὐτὴν ἐπὶ τῆς κορυφῆς διὰ τὸ ἐγγυτέρω ταύτην ἡμῖν εἶναι δοκεῖν, τοῦ δὲ δευτέρου τὸ μεθ' ἱκανὴν ἀπὸ τῆς γῆς ἀνύψωσιν ἰσοῦψῆ τοῖς ἀεροπόροις φαίνεσθαι τὸν ὁρίζοντα. Ἔστι δ' ἡ φαντασίωσις τὸ μὲν ἀκούσιος ἐκ νοσηρᾶς τινος γεννωμένη τῶν νεύρων ἢ τοῦ ἐγκεφάλου καταστάσεως, ἐξ οὗ καὶ δόξαν ἐμποιοῦσιν ὡς ὄντα τὰ φαινόμενα, τὸ δὲ ἑκουσία παρὰ τοῖς ἰσχυρᾷ διδωρημένοις φαντασίᾳ καλλιτέχναις καὶ ποιηταῖς καὶ *ἐνθουσιασταῖς*, κατὰ βούλησιν ὡς παρόντα τὰ μὴ (παρόντα) φανταζομένους, οἷος ἦν, ὡς ἔοικε, Γοίθιος ὁ ποιητής, ὃς κατ' ἀφήγησιν ἰδίαν ἠδύνατό τι φαντάζεσθαι καταμύων ἄνθος, τὸ δὲ μετεβάλλετο μὲν ἀεὶ καὶ νέον ἔνδοθεν ἐξείλισσεν ἄνθος ποικιλόχρουν, οὐ μὴν φυσικόν, διήρκει δ' ἐφ' ὅσον ἐκεῖνος ἤθελε[1]. Παραδοξότερα δὲ καὶ σπανία τις ἀληθῶς ἦν εἶχε δύναμιν φαντασίας (Brierre de Boismont des halluc. p. 39) ὁ Γαλάτης ζωγράφος, ὃς ἐν ἑνὶ ἐνιαυτῷ τριακοσίας ἔγραψε μικράς τε καὶ μεγάλας ἐπιτυχεῖς ἀνθρώπων εἰκόνας, ὧν ἕκαστον ἅπαξ μόνον ἔχρηζεν ἰδεῖν καθήμενον· ἀρηγείτο δ' αὐτὸς περὶ τῆς ἰδίας ἕξεως ὧδε: «θεωρῶν ἐπιμελῶς τὸ προσελθὸν μοι πρότυπον ἐπὶ ἡμίσειαν ὥραν ἐσκιαγράφουν αὐτὸ κατὰ διαλείμματα ἐπὶ τοῦ πίνακος· τούτου δὲ γενομένου προσεκάλουν ἕτερον· ἑκάστοτε δὲ πρὸς ἀποτελείωσιν εἰκόνος ἑκάστης ἐφανταζόμην τὸ πρότυπον καθήμενον ἐπὶ καθέδρας ἐναργέστερον ἔτι τήν τε χροιὰν καὶ τὸ εἶδος· οὕτω δ' ἔστιν ὅτε θεωρῶν ἐζωγράφουν αὐτὸ καὶ βλέπων ἑκάστοτε πρὸς τὴν καθέδραν ἐώρων ἐπ' αὐτῆς τὸν ἄνθρωπον».— Ἑκουσία δ' ἐστὶ καὶ ἡ διὰ τεχνητῆς ὑπνώσεως ἢ διὰ ποτῶν ἢ φαρμάκων ὑπνωτικῶν, ὀπίου, κανναβέως καὶ τῶν ὁμοίων, οἷς οἱ κακοδαίμονες (εἰσὶ δ' ὁμολογουμένως οἱ πλείστοι) χρῶνται πρὸς λήθην μὲν τῶν δεινῶν τοῦ βίου βραχεῖαν, ἡδονὴν δὲ καὶ εὐεστὼ καὶ εὐδαιμονίαν ἰσόχρονον ὧν ἐκεῖνα γεννῶσι φαντασμάτων.

Τῷ μὲν οὖν ὀπίῳ καὶ τοῖς ὁμοειδέσι χρῶνται μάλιστα πάντων οἱ ἐν Ἀσίᾳ Σῖναι καὶ Ἰνδοὶ καί τινες ἐσχάτως Ἀγγλοσάξωνες ἐν Ἀμερικῇ καὶ Ἀγγλίᾳ, τοῖς δὲ ποτοῖς ἄλλα τ' ἔθνη καὶ γένη πολλά, παιδείας ἄμοιρα καὶ βάρβαρα, παρὰ τῶν σοφῶν καὶ *φιλανθρώπων* Εὐρωπαίων μαθόντα, καὶ τούτων αὐτῶν οἱ βορειότεροι, Ἄγγλοι καὶ Γερμανοὶ καὶ Σουηδοὶ καὶ Νορβηγοὶ καὶ Ρῶσσοι. Τὸ δὲ τῆς χρήσεως, ὀλεθρίου περ οὔσης, αἴτιον αἱ μυρίαι ταλαιπωρίαι καὶ φροντίδες καὶ μόχθοι καὶ κακουχίαι καὶ νόσοι καὶ θλίψεις καὶ δυσελπιστίαι καὶ στερήσεις, ἃ πάντα καθιστῶντα τὸν βίον ἐπαχθῆ καὶ «τὸ λεγόμενον» ἀβίωτον, ἐπιθυμίαν ἐμποιοῦσι τοῖς ἀνόλβοις ἐκείνοις καὶ δυστήνοις ἀπαλλαγῆναι τούτων ἐπὶ στιγμὴν ἐνεργείᾳ τῇ τοῦ ποτοῦ, ᾧ ποτιζόμενοι, φαντασιούμενοι, μακαρίους ἑαυτοὺς ἐπὶ μικρὸν ὁρῶσιν ὥσπερ οἱ πλουτοῦντες ἐν ὀνείρῳ, τοῦ συνειδότος ἀμαυρωθέντος.

Πολλῷ δὲ τῶν μεθυστικῶν εἰσι κινητικώτερα τῆς φαντασίας τὰ ναρκωτικά, οἷς οἱ χρώμενοι ἀπαναρκούμενοί πως ὁρῶσιν ὁράματα καὶ φαντάσματα τοτὲ μὲν ἡδέα καὶ τερπνά, τοτὲ δὲ πάλιν ὀχληρὰ καὶ μελαγχολικὰ καὶ θλιπτικά. Τέρπει δ' αὐτούς, ὡς ἔοικε, καὶ ἡ ταχίστη διαδοχὴ τῶν φαντασμάτων. ἐξ ἧς ἄν τις εἰκάσειε, καὶ τὸ δοκεῖν ἐκείνοις ἀπέραντόν τινα διατείνεσθαι τὸ ἐνύπνιον χρόνον. Ἀρηγείται δὲ τοῦ ὀπίου τὴν ἐνέργειαν ὁ Ἄγγλος Θωμᾶς ὁ Κουϊνσιος ἐν ἰδιαιτέρᾳ πραγματείᾳ[1]. ὅσα δῆλον ὅτι καὶ οἷα χρησάμενος εἶδεν αὐτὸς ὀνείρατα καὶ φαντασιώδη γεγονότα, ἐξ ὧν ἐνθάδε παρατιθεμεν ὑμῖν ὀλίγα:

29. Μνήμη τοῦ μακαρίου Ἰωάννου τοῦ στρατιώτου. Ἡ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ Ἰωάννου τοῦ Θεολόγου πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

Ἤκμασεν ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου, γενόμενος κατοικητήριον χριστιανικῶν ἀρετῶν· ἐτάφη εἰς τόπον καλούμενον Πανδέκτην, «ἔνθα καὶ οἱ ξένοι ἐτίθεντο»[146].

* * *

29. Μνήμη τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου τοῦ νέου.

Γεννηθεὶς τῇ 11 ἀπριλίου 401, ἀπεβίωσε τῇ 20 ἰουνίου 450 κατὰ Θεοφάνη, μᾶλλον τῇ 28 ἰουλίου τοῦ ἔτους τούτου. Φιλάνθρωπος καὶ πρᾷος εἶχε τὴν πίστιν ἀκραιφνῆ καὶ δόκιμον[147]. Ἐπ' αὐτοῦ συνεκροτήθη ἡ Γ' οἰκουμενικὴ σύνοδος. Ἐτάφη ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς Μεγάλοις.

* * *

29. Κωνσταντίνου πατριάρχου Κωνσταντινουπόλεως.

Ἱεράτευσεν ἀπὸ τοῦ 674-676, πρότερον ὢν διάκονος καὶ σκευοφύλαξ τῆς Ἁγίας Σοφίας[148].

* * *

31. Ἡ ἀνάμνησις τῶν ἐγκαινίων τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τοῦ ἐν Βλαχέρναις, ἔνθα ἀπόκειται ἡ ἁγία Σορός[149].

ἤ, τὰ ἐγκαίνια τῆς ἁγίας Σοροῦ ἐν Βλαχέρναις[150].

Ἴδε εἰς τὴν 2 ἰουλίου.

* * *

31. Προεόρτια τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ἤτοι ἡ ἐξέλευσις αὐτοῦ ἐκ τοῦ παλατίου εἰς τὴν πόλιν.

Κατὰ τὴν παράδοσιν, ἡ περιαγωγὴ τοῦ Σταυροῦ ἐγίνετο πρὸς ἁγιασμὸν τῆς ἀτμοσφαίρας καὶ ἀποτροπὴν τῶν λυμαινομένων τὴν Κωνσταντινούπολιν νόσων. Ὁ τίμιος Σταυρὸς ἐξαγόμενος ἐκ τοῦ σκευοφυλακείου (τοῦ ναοῦ τῆς Ἁγίας Σοφίας) προετίθετο εἰς προσκύνησιν τῇ 25 ἰουλίου ἐν τῷ νάρθηκι τοῦ ναοῦ τοῦ ἁγίου Βασιλείου πρὸ τοῦ ναοῦ τοῦ ἁγίου Στεφάνου τῆς Δάφνης ἐν τῷ παλατίῳ· ἀπὸ δὲ τῆς 26-28 προετίθετο ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου τούτῳ· μεθ' ὃ περιήρχετο τὴν πόλιν καὶ περὶ τὰ τείχη μέχρι τῆς 13 αὐγούστου, ὅτε ἀπετίθετο ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Θεοδώρου ἐν τῷ παλατίῳ· τῇ 14 δὲ ἔμενεν ἐν τῷ ναῷ τῆς Θεοτόκου τοῦ Φάρου καὶ ἐκεῖθεν ἐπέστρεφεν εἰς τὸ σκευοφυλακεῖον[151].

---

145. Προκοπίου, Περὶ κτισμάτων· σελ. 190.

146. ταῦτα κατὰ τὸν ἐν χρήσει Συναξαριστήν. Ὁ Μορσέλλιος (Kalendarium· Β', σελ. 180) φρονεῖ ὅτι ὁ τόπος ἔκειτο παρὰ τῇ πύλῃ Μυριάνδρου.

147. Θεοδωρήτου, Ἐκκλ. Ἱστορ. Ε', λστ' καὶ λζ', ὅπου γράφει ὅτι τοὺς ἔτι σῳζομένους εἰδωλικοὺς ναοὺς ἠφάνισε. Σωκράτης, Ἐκκλ. Ἱστ. Ζ', κδ' καὶ μδ'. Θεοφ. Α', σ. 118 καὶ 159. Κάλλιστος· ΙΔ' γ'.

148. Πατριαρχ. Πίνακες· σελ. 248-249.

149. οὕτω γράφουσιν ὁ Συναξαριστὴς καὶ τὰ Μηναῖα.

150. Ἱεροσλμ. Βιβλιοθ. τόμ. Β', σελ. 472.

151. Πορφυρογ. Ἔκθ. Α', σελ. 539-540.

* * *

31. Εὐδοκίμου τοῦ δικαίου.

Υἱὸς Βασιλείου καὶ Εὐδοκίας, πατρικίων, καταγομένων ἐκ Καππαδοκίας, ἤκμασεν ἐπὶ Θεοφίλου, διδαχθεὶς ἐν Κωνσταντινουπόλει τὴν τῶν τότε χρόνων ἱερὰν παιδείαν. Εὐνοούμενος ὑπὸ Θεοφίλου «κανδιδάτος τιμᾶται καὶ στρατοπεδαρχεῖν τάττεται πρῶτον μὲν κατὰ τὴν τῶν Καππαδοκῶν, ἔπειτα κατὰ τὰ Χαρσιανῶν ὅρια»[152]· ἐγένετο δικαιότατος, ἐλεήμων, προστάτης ὀρφανῶν καὶ χηρῶν. Ἐκοιμήθη ἐν εἰρήνῃ.

ΑΥΓΟΥΣΤΟΣ

1. Τῶν ἁγίων ἑπτὰ μαρτύρων τῶν Μακκαβαίων καὶ τῆς μητρὸς αὐτῶν Σολομονῆς καὶ Ἐλεαζάρου τοῦ διδασκάλου αὐτῶν.

Ναὸς ἐπ' ὀνόματι τῶν ἁγίων Μακκαβαίων ἐσῴζετο ἐν ἀρχαῖς τῆς Ζ' ἑκατονταετηρίδος πέραν ἐν Συκαῖς (ἐν Γαλατᾷ)[1] αὐτὸς ἴσως ὁ ἐν τῇ βιογραφίᾳ τοῦ ὁσίου Δαλμάτου (Δ' αἰῶνι) ἀναφερόμενος.

Οὔκ ἐστιν ἐπαρκῶς ἀποδεδειγμένον ὅτι τῆς ἁγίας Σολομονῆς ἐστι τὸ λείψανον, ὃ θησαυρίζει σήμερον ὁ πατριαρχικὸς ναός.

* * *

1. Τῶν ἁγίων μαρτύρων Μίνη καὶ Μηναίου. Ἡ σύναξις ἐν τῷ Ἑβδόμῳ.

ἤ, κατὰ τὰ Μηναῖα καὶ τοὺς Συναξαριστὰς

Μήνου, Μηναίου καὶ τῶν λοιπῶν ἐν τῷ Βιγλεντίῳ, πλησίον τοῦ Χαλκοῦ Τετραπύλου.

Φαίνεται ὅτι ἦσαν δύο ναοὶ ἀνατεθειμένοι εἰς τοὺς ἁγίους τούτους, 1) ὁ ἐν τῷ Ἑβδόμῳ, ἐγερθεὶς ἐκ θεμελίων ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ[2]· καὶ 2) ὁ πλησίον τοῦ Χαλκοῦ Τετραπύλου, περὶ οὗ εἴδομεν εἰς τὴν 9 μαρτίου.

ℰ

2. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου.

Κατὰ τὴν παράδοσιν, ἀνεκομίσθη εἰς Κωνσταντινούπολιν ἐπὶ τοῦ Μ. Κωνσταντίνου, ἐγείραντος ναὸν ἐπ' ὀνόματι τοῦ ἁγίου Στεφάνου[3], ἄγνωστον ποῦ· ἐν τούτοις ἐπιστεύετο κατὰ μὲν τὸν Ε' αἰῶνα ὅτι «ἀποτίθεται πρὸ τῶν τειχίων τῆς Ἱερουσαλὴμ, ἔνθα λιθοβοληθείς, τοὺς λαμπροὺς τοῦ μαρτυρίου στεφάνους ἀνεδήσατο»[4], βραδύτερον δ' ὅτι τὰ λείψανα τοῦ πρωτομάρτυρος εὑρέθησαν ἐν κώμῃ Περγαμαλᾷ τῷ 427, τούτων δὲ μέρος, ἤτοι λείψανον τῆς δεξιᾶς τῷ 428 ὁ πατριάρχης Ἱεροσολύμων ἔπεμψε δῶρον εἰς Θεοδόσιον Β' διὰ τοῦ ἐν ἁγίοις Πασσαρίωνος. Ἡ βασιλὶς Πουλχερία τὸ τίμιον ἐκεῖνο δῶρον εἰσεκόμισεν ἀπὸ τῆς Χαλκηδόνος εἰς τὸ παλάτιον, ἐν ᾧ κτίσασα ναὸν τοῦ ἁγίου Στεφάνου, κατέθηκεν ἐν τῷ ναῷ τούτῳ τὸ λείψανον[5].

Κατὰ τὸν Συναξαριστὴν, ἡ σύναξις ἐπὶ τῇ ἀνακομιδῇ ἐτελεῖτο εἰς τὸν ναὸν αὐτοῦ, βεβαίως τὸν ὑπὸ Πουλχερίας κτισθέντα.

Κατὰ τὸν Θ' αἰῶνα ἡ ἑορτὴ ἀναφέρεται τελουμένη τῇ 2 αὐγούστου[6], ἀλλὰ καὶ κατὰ τὸν Ε', ὡς ἀναγινώσκομεν ἐν ἀνεκδότῳ βιογραφίᾳ τῶν ὁσίων Ἰσαακίου, Δαλμάτου καὶ Φαύστου.

* * *

2. Ἡ εὕρεσις τῶν λειψάνων Μαξίμου, Δάδα καὶ Κυντιλλιανοῦ. Ἡ σύναξις ἐν τοῖς Βιγλεντίου.

Μνεία αὐτῶν ἐγένετο τῇ 13 ἀπριλίου. Ἐπειδὴ τὰ λείψανα αὐτῶν εὑρίσκοντο τεθησαυρισμένα καὶ μετὰ τὸν Ι' αἰῶνα ἐν τῷ ναῷ τῆς Θεοτόκου ἐν τοῖς Βιγλεντίου, πιστεύω ὅτι ἡ σύναξις αὐτῶν κατὰ τὴν 2 αὐγούστου ἐγίνετο ἐν τῷ θεομητορικῷ τούτῳ ναῷ.

* * *

2. Τὰ ἐγκαίνια τοῦ θείου ναοῦ τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

* * *

2. Τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου

---

152. ὁ Νικόδημος παρεξήγησε τὸ κείμενον τοῦ χειρογράφου Συναξαριστοῦ γράψας ὅτι «στρατοπεδάρχης ἐγένετο πρῶτον μὲν εἰς τὴν χώραν τῶν καππαδοκῶν, ἔπειτα δὲ εἰς ὅλην τὴν γῆν τῶν ρωμαίων».

1. Πασχάλ. Χρον. σ. 718. Εἰρήσθω δ' ὅτι οἱ συγγραφεῖς τοῦ Χρονικοῦ τούτου Πέραν γράφουσιν οὐ μόνον τὸν Γαλατᾶν, ἀλλὰ καὶ τὴν Χαλκηδόνα καὶ τὰ πέριξ, ὡς λόγου χάριν ἐν σελίδι 796.

2. Προκοπίου, Περὶ κτισμάτων· σελ. 201.

3. τοῦτο κατὰ τὰ Μηναῖα καὶ τοὺς Συναξαριστάς.

4. Βασιλείου Σελευκείας λόγος εἰς ἅγιον Στέφανον· Migne, τόμ. ΠΕ', στ. 469.

5. Θεοφ. Α', σελ. 134· Κάλλιστος, Ἐκκλ. Ἱστ. ΙΔ', θ'.

6. Βίος Εὐθυμίου· σελ. 76.

βασιλέως Ἰουστινιανοῦ ἐν τοῖς Ἁγίοις Ἀποστόλοις.

Ἔστιν Ἰουστινιανὸς ὁ μέγας, οὗ περὶ τῆς ἀνακηρύξεως ὡς ἁγίου λόγος ἐγένετο ἐν ταῖς πρώταις σελίσι τῶν «προλεγομένων». Ἀναφέρεται παρὰ Μαργουνίῳ καὶ Νικοδήμῳ καὶ ἐν τοῖς Μηναίοις εἰς τὴν 2 τοῦ αὐγούστου. Κτίτωρ πολλῶν ναῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ, ὃ δὲ σπουδαιότερον, ἱδρυτὴς τοῦ μεγαλοπρεπεστάτου μοναστηρίου τῆς Μετανοίας ἐπὶ διαμονῇ καὶ ἠθικῇ συγκροτήσει τῶν ἐπὶ τῷ πρότερον ἐκλελυμένῳ βίῳ μεταμελουμένων γυναικῶν, «ἐφ' ᾧ δὴ ἐνταῦθα περί τε τὸν Θεὸν καὶ τὴν εὐσέβειαν ἀσχολίᾳ γεννησομένη περικαθῆραι τὰς ἁμαρτάδας δυναταὶ εἶεν τῆς ἐν μαστρωπείῳ διαίτης»[7], παρ' ὀλίγον ἀπολαύει κατὰ τὸν Ζ' αἰῶνα τιμῶν ἰσαποστόλου. Ἐπ' αὐτοῦ παρεδέξαντο τὸν χριστιανισμὸν οἱ Ἐροῦλοι, αὐτὸς δὲ καὶ τοῖς τὰ ἀπὸ Ταναΐδος ἕως Εὐξείνου κατοικοῦσιν ἔπεμψεν ἐπίσκοπον διδάξαντα τὸν χριστιανισμόν, ὡς καὶ τοῖς Ἀβασγοῖς, οἷς καὶ ναὸν τῆς Θεομήτορος ᾠκοδομήσατο[8]. Ἐπ' αὐτοῦ δὲ συνεκροτήθη τῷ 553 ἡ Ε' ἁγία οἰκουμενικὴ Σύνοδος. —Τὴν ἀσυγχώρητον τοῦ Ἰουστινιανοῦ ῥοπὴν πρὸς δογματικὰς συζητήσεις Εὐστράτιος ὁ πρεσβύτερος κακίζει, καίπερ ὀνομάζων αὐτὸν *ἐν εὐσεβεῖ τῇ λήξει*[9]. — Τὴν μνήμην τοῦ Μ. Ἰουστινιανοῦ ἀγομένην πρότερον ἐν τῷ ἐν Ἐφέσῳ ναῷ Ἰωάννου τοῦ Θεολόγου καὶ ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς Μεγάλοις, ὅπου ἦν τεθαμμένος, μεγαλοπρεπῶς ἤρξατο πανηγυρίζων ὁ πατριάρχης Ἰωάννης Θ' ὁ Ἀγαπητὸς (1111-34) ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας[10].

§

3. Ἰσαακίου, Δαλμάτου καὶ Φαύστου.

Περὶ τοῦ Ἰσαακίου βλέπε εἰς τὴν 30 μαΐου· παρ' αὐτῷ μαθητὴς ἐγένετο ὁ Δαλμάτος· ὁ δὲ Φαῦστος ἦν υἱὸς αὐτοῦ.

Ἡ ἀπ' αὐτῶν ὀνομασθεῖσα μονὴ τῶν Δαλμάτων ἱδρύθη κατὰ τὰ τέλη τοῦ Δ' αἰῶνος· τὸν κατὰ καιρὸν ἡγούμενον αὐτῆς οἱ πατέρες τῆς Γ' οἰκουμενικῆς Συνόδου κατέστησαν ἀρχιμανδρίτην καὶ ἔξαρχον τῶν ἐν Κωνσταντινουπόλει μοναστηρίων, διὸ Μαριανὸς ὁ ἡγούμενος αὐτῆς, ἐπὶ Μηνᾶ τοῦ πατριάρχου Κωνσταντινουπόλεως, ὑπεγράφη «ἔξαρχος τῶν ἐπὶ βασιλευούσης ταύτης πόλεως διακειμένων εὐαγῶν μοναστηρίων καὶ τῶν λοιπῶν ἡγουμένων τῶν κατὰ τὴν φιλόχριστον ταύτην πόλιν καθεστώτων εὐαγῶν μοναστηρίων»[11]. Τῇ 6 νοεμβρίου τοῦ 556 «ἐτελεύτησεν ὁ Τιμόθεος, ἔξαρχος τῶν μοναστηρίων καὶ ἡγούμενος τῆς Δαλμάτου μονῆς καὶ ἐγένετο ἀντ' αὐτοῦ Ἄνθιμος ἔγκλειστος τοῦ αὐτοῦ μοναστηρίου»[12]. Τὴν μονὴν ταύτην καὶ κατὰ τὸν Η' αἰῶνα «πρώτιστον οὖσαν ἐν τοῖς κοινοβίοις τοῦ Βυζαντίου» μετέβαλεν ὁ Κοπρώνυμος εἰς στρατῶνα τῷ 768[13], ἀλλ' ἀνασυνεστήθη καὶ πάλιν αὖτη· διότι ἀναφέρεται σῳζομένη κατὰ τὰ μέσα τοῦ Ι' αἰῶνος ἔχουσα καὶ *Καταδίκην*, εἶδός τι πύργου πιθανῶς, ἐν ᾧ περιώριζον τοὺς ἀτακτοῦντας[14]. — Ἡ μονὴ τῶν Δαλμάτων ἔκειτο κατέναντι καὶ πρὸς βορρᾶν τοῦ Ἁγίου Στεφάνου ἐν Αὐρηλιαναῖς ἄνωθι τῆς Περιβλέπτου (Σουλοῦ-μοναστήρ) ὡς μέλλομεν ἰδεῖν εἰς τὴν 27 δεκεμβρίου.

Βιογραφία τῶν ὁσίων Ἰσαακίου, Δαλμάτου[15] καὶ Φαύστου, πλὴν τῆς παρὰ Βανδουρίῳ (ἀπὸ σελίδος 514β-525α τῆς ἐν Βενετίᾳ ἐκδόσεως τοῦ πολυτιμοτάτου συγγράμματος Imperium Orientale) σῴζεται ἐν τῷ μεμβρανίνῳ 1453 χειρογράφῳ τῆς ἐν Παρισίοις Ἐθνικῆς Βιβλιοθήκης, αὐτῷ δὴ τούτῳ, ἀφ' οὗ ὁ πολυμαθὴς πρεσβύτερος Emmanuel Auvray μετέγραψέ μοι τὰ δύο ἱστορικὰ κείμενα περὶ τῆς ὁσίας Ὀλυμπιάδος καὶ τῶν μονῶν αὐτῆς· αὐτὸς οὗτος, ᾧ χάριν ὁμολογῶ δημοσίᾳ, μετέγραψέ μοι καὶ τὸν «Βίον καὶ πολιτείαν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιμανδρίτου Δαλμάτου», ἐκτεινομένην μὲν ἀπὸ φύλλου 226β1-239β2, περιέχουσαν δὲ καί τινας εἰδήσεις περὶ τῶν ὁσίων Ἰσαακίου καὶ Φαύστου. Δυστυχῶς, ἡ χρονολογία συγκεχυμένη πώς ἐστιν, ὡς μοι φαίνεται, διότι, ἐὰν ὁ Ἰσαάκιος γράφηται θνήσκων τῷ δευτέρῳ ἔτει τῆς Ἀρκαδίου βασιλείας, ἤτοι τῷ 396, μετὰ διαμονὴν εἴκοσι

---

7. Προκοπίου, Περὶ κτισμάτων· σελ. 200.

8. ταῦτα κατὰ τὸν Εὐάγριον· Ἐκκλησιαστ. Ἱστορ. Δ', κ', κδ' καὶ κγ'.

9. Εὐτυχίου βίος· Migne, τόμ. ΠΣΤ', στ. 2313.

10. Πατριαρχ. Πίνακες· σελ. 348.

11. Δουκαγγίου, Const. Christ. σελ. 108α.

12. Θεοφ. Α', σελ. 357.

13. αὐτόθι· σ. 684. Ζωναρᾶς· ΙΕ', 8 (Δινδόρφ. Γ', 355).

14. Λέων γραμματικός· σελ. 290. Συμεὼν μάγιστρος· σελ. 720. Γεώργιος μοναχός· σελ. 876.

15. Ἰλαν ἔσπευσεν ὁ Le Quien γράψας τὸν Δαλμάτον μητροπολίτην γενόμενον Κυζίκου. Oriens Christianus· τόμ. Α', στήλη 752.

καὶ δύο ἐτῶν ἐν Κωνσταντινουπόλει (374—396), ὅτε ἐχειροτονήθη ἡγούμενος ὁ Δαλμάτος, αὐτὸς παρίσταται κατ' αὐτὸν τὸν χρόνον φέρων ἡλικίαν ἐτῶν δύο πρὸς τοῖς πεντήκοντα· ἄρα ἐγεννήθη τῷ 344 καὶ « τριακοστὸς ἀπετάξατο », ἤτοι τῷ 374· ἀλλὰ πρὸς τὰ τέλη τῆς βιογραφίας ἀναφέρεται ὅτι προέστη τῆς μονῆς ὁ Δαλμάτος ἔτη πεντήκοντα καὶ πέντε, ἀπὸ τοῦ 396 βεβαίως· ὥστε συνάγομεν ὅτι ἀπεβίωσε τῷ 451. Ἐπειδὴ δὲ, κατὰ τὴν βιογραφίαν, ἀπεβίωσεν εἰς ἡλικίαν ἐτῶν ὀγδοήκοντα καὶ πέντε, συνάγεται ὅτι ἀπέθανε τῷ 429· ἀλλὰ βλέπομεν αὐτὸν ζῶντα τῷ 431, θνήσκοντα δ' ἐπὶ τοῦ πατριάρχου Πρόκλου, μετὰ τὸ 434 δῆλα δή· καὶ ἐπειδὴ συνεμόνασε τῷ Ἰσαακίῳ δεκαεξαετίαν, πρέπει 'ν' ἀφαιρέσωμεν δέκα καὶ ἓξ ἀπὸ τῶν 396, καὶ συνάγοντες 380 'ν' ἀφαιρέσωμεν ἐκ τούτων 30 («τριακοστὸς ἀπετάξατο») ὅπως εὕρωμεν ἔτος γεννήσεως 350 καὶ θανάτου 435. Ἐν τούτοις ἐν φύλλῳ 235α1 τοῦ χειρογράφου 1453, γράφεται περὶ τοῦ ἔτους 431 ὅτε τότε τεσσαράκοντα καὶ ὀκτὼ ἠρίθμει ἔτη ἀφ' οὗ χρόνου ἐγκλειστος ἦν ἐν τῷ κελλίῳ αὐτοῦ, ὥστε δέον 'να προσθῶμεν ἑπτὰ ἔτη (μέχρι τοῦ 55ου τῆς ἡλικίας) ὅπως συναγάγωμεν ὅτι ἀπεβίωσε τῷ 438, γεννηθεὶς ἄρα τῷ 354. Δυσκόλως ἐν τούτῳ συμφωνῶ τοῖς τε βολλανδισταῖς καὶ τῷ ἀββᾷ Nilles.

Ἐκ τῆς βιογραφίας ταύτης ἀποσπῶν παρατίθημι τα κυριώτερα μέρη:

« Οἷς κρίμασιν οἶδεν αὐτὸς, ἤγειρε τὸ πνεῦμα Ἰσαακίου δούλου αὐτοῦ, ἀνδρὸς ὁσιωτάτου (227β2) καὶ ἐν ἐρημίᾳ διατρίβοντος, χάριτος θείας πεπληρωμένου καὶ προφητικοῦ χαρίσματος ἠξιωμένου. Τούτῳ τοίνυν γίνεται θεία τις ἄνωθεν ἔλλαμψις, κελεύουσα τὸ Βυζάντιον καταλαβεῖν καὶ ὑπερμαχῆσαι τῆς πίστεως προκινδυνευούσης ἤδη πολὺν χρόνον . . . . . οὕτως καὶ ὁ θεοφόρος πατὴρ ἡμῶν εἶξας τῷ κελεύσαντι αὐτῷ, κατελθὼν τῆς ἐρήμου, ἐπέβη τῇ Βυζαντίδι. . . . . Τότε τοίνυν, προνοίᾳ Θεοῦ καὶ τῇ ἄνωθεν ψήφῳ, κρατεῖ τῆς βασιλείας ὁ Ἰσπανὸς Θεοδόσιος, ἀνὴρ φιλόχριστος (228α2) καὶ ὀρθόδοξος· καὶ ἀνηγγέλη αὐτῷ τὰ κατὰ τὸν μακάριον Ἰσάκιον καὶ ὅσα προεῖπε τῷ Οὐάλεντι διελέγχων αὐτὸν, καὶ περὶ τῆς προφητείας τοῦ οἰκτίστου αὐτοῦ θανάτου, καὶ ὅτι πάντα οὕτως αὐτῷ συνέβη, καθὼς εἶπεν ὁ τοῦ Θεοῦ ἄνθρωπος Ἰσάκιος. Θεοδόσιος δὲ ὁ βασιλεὺς ταῦτα ἀκούσας, μετὰ θάμβους πολλοῦ καὶ φόβου, ἦλθεν εἰς προσκύνησιν τοῦ ἁγίου μετὰ πάντων τῶν μεγιστάνων αὐτοῦ· ἦν δὲ καὶ ὁ μακάριος Δαλμάτος σὺν αὐτοῖς, ἀνὴρ ἐλλόγιμος καὶ εὐσεβείᾳ συζῶν καὶ ἐν τῇ τῶν σχολαρίων στρατιᾷ καταλεγόμενος τῇ δευτέρᾳ· καὶ ἀκούσας πάντα τὰ κατὰ τὸν μακάριον Ἰσάκιον, καὶ θεασάμενος τὴν ἀγγελικὴν αὐτοῦ θέαν καὶ διαγωγὴν, πάνυ ἐτέρφθη ἐπ' αὐτῷ· καὶ ἐπεθύμησε καὶ αὐτὸς τὸν ἴσον ἀγῶνα θέσθαι αὐτῷ· διεμερίζετο δὲ (228β1) τῷ λογισμῷ καθ' ἑαυτὸν ἀσχάλλων τὸ, ποίῳ τρόπῳ καταλείψῃ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα· ἦν γὰρ βιωτικὸς ὁ ἀνὴρ, καὶ περιουσίαν πολλὴν κεκτημένος, εὐγενής τε καὶ περιφανὴς, καὶ τῶν ἀφηλίου ἀνατολῶν γένος . . . . . ἀπεὶη δὲ ὁ μακάριος Δαλμάτος, ἔνδον ἔχων τὴν ἐπιθυμίαν ἀναφλέγουσαν· μετὰ οὖν ὀλίγας ἡμέρας, πάλιν ἐπορεύθη πρὸς τὸν μακάριον· καὶ αἰτήσας εὐχὴν παρ' αὐτοῦ, ἔμεινεν ἐκεῖ μετ' αὐτοῦ ἑπτὰ ἡμέρας, ἀπολαύων τῆς διδαχῆς αὐτοῦ ἀκορέστως ἔχων περὶ τούτου· ἦν γὰρ σπουδαῖος ὁ ἀνὴρ καὶ ζηλωτὴς τῶν ἐντολῶν τοῦ Χριστοῦ. . . . . καὶ ὁ μακάριος Δαλμάτος, πιστεύσας τῷ Κυρίῳ καὶ τῷ θεράποντι αὐτοῦ Ἰσακίῳ, πάντα τὰ ὑπ' αὐτοῦ ἐνταλθέντα εἰς ἔργον ἐξήγαγεν· ἀπελθὼν γὰρ ἐν τῷ οἴκῳ αὐτοῦ, ἀνεκοινώσατο τῇ συμβίῳ αὐτοῦ πάντα τὰ τοῦ σκοποῦ αὐτοῦ· ἡ δὲ θεοφιλὴς ἐκείνη γυνὴ ταῦτα ἀκούσασα παρ' αὐτοῦ, καὶ λύπῃ οὐ τῇ τυχούσῃ κατασχεθεῖσα, ἐδάκρυσε μὲν καὶ ἠνιάθη σφόδρα περὶ τούτου, οὐκ εἶχε δὲ ὅ,τι καὶ δρᾶσαι, γινώσκουσα τοῦ ἀνδρὸς τὸ ἀμετάθετον . . . . . ἀλλὰ πάλιν ἐννοοῦσα αὐτῆς μὲν τὴν χηρείαν (229β), τῶν δὲ παίδων τὴν ὀρφανίαν, σὺν τούτοις δὲ καὶ τὴν ἐπὶ ξένοις αὐτῆς κατάλειψιν, οὐκ ἤθελε παρακληθῆναι, ἀλλὰ θρήνοις ἑαυτὴν συνέκοπτεν· ὁ δὲ τίμιος Δαλμάτος πρὸς αὐτὴν εἶπε· "τί ποιεῖς οὕτως, ὦ κυρία μου, κλαίουσα καὶ συνθρύπτουσά μου τὴν καρδίαν· μᾶλλον ὤφειλες καὶ αὐτὴ, θεοσεβὴς οὖσα, τῷ σκοπῷ τούτῳ ἐξακολουθῆσαι „ . . . . . Καὶ δὴ, ἐπιλαβόμενος ὁ μακάριος πάντα ὅσα ὑπῆρχε τῇ γυναικὶ, κινητὴν περιουσίαν ἔν τε χρυσῷ καὶ ἀργύρῳ, καὶ πάντα κόσμον τῆς γυναικὸς, καὶ τοὺς παῖδας αὐτῆς καὶ τὰς παιδίσκας, καὶ τὸ θῆλυ παιδίον, δέδωκεν εἰς τὰς χεῖρας τῆς γυναικὸς, εἰρηκὼς πρὸς αὐτήν· "σῴζου, γύναι, μὴ λυποῦ, μηδὲ δάκρυε· ἀλλὰ τῇ βοηθείᾳ τοῦ Θεοῦ φρουρουμένη, ἄπελθε πρὸς τοὺς σοὺς γονεῖς, ἐπιμελουμένη τῆς ἑαυτῆς ψυχικῆς σωτηρίας „ . . . . . (280α2) Συνταξάμενος δὲ αὐτῇ καὶ τὸ τελευταῖον συντακτήριον ἀποδοὺς, ἀπέλυσεν ἐπὶ τὴν ἀνατολὴν πορεύε-

σθαι, ὅθεν καὶ αὕτη ἡ τιμία συζυγία ὥρμητο. Τὸν δέ γε ἀοίδιμον υἱὸν αὐτοῦ Φαῦστον λαβὼν μεθ' ἑαυτοῦ ὁ μακάριος Δαλμάτος, κομιδῇ νήπιον ὄντα, ὑπέστρεψε πρὸς τὸν ὅσιον πατέρα ἡμῶν Ἰσάκιον . . . . . Ἐλθούσης τῆς ἁγίας Ἀναλήψεως, ἀπελθὼν ἐγγὺς αὐτοῦ ὁ θεῖος Ἰσάκιος ἐφώνησεν αὐτῷ ἐκ τρίτου λέγων· "Ἀδελφὲ Δαλμάτε, πόσα κοιμᾶσαι· ἀνάστα„. Καὶ κρατήσας αὐτὸν τῆς χειρὸς, ἀνεκάθισε· καὶ ἔτριψεν αὐτοῦ τὴν ὄψιν· καὶ λέγει πρὸς τὸν ὅσιον (232α2) Ἰσάκιον "Ἔψαλλαν, κύριέ μου πάτερ, οἱ ἀδελφοὶ τὴν τρίτην;„ Καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ μακάριος Ἰσάκιος "Σὺ γὰρ ποῦ ἦσθα, ἵνα μὴ εἴδῃς εἴ ἔψαλλον„. Καὶ ὁ ἀοίδιμος Δαλμάτος πρὸς αὐτόν· "Ὧδε ἤμην, ἐγγύς σου τοῦ πατρός μου· ἐπὶ δὲ τοῦ παρόντος, εἰς τοὺς Ἁγίους Μακκαβαίους ἤμην ἐν τῇ συνάξει„. Καὶ λέγει πρὸς αὐτόν· "Πόθεν δῆλον ὅτι ἐκεῖ ἦς;„ Ὁ δὲ ἔφη· "Ἐκεῖ ἤμην μετὰ τοῦ πατριάρχου Νεκταρίου εἰς τὴν ἁγίαν λειτουργίαν· καὶ μετ' αὐτοῦ ἤμην καθήμενος ἐν τῷ θρόνῳ, δεύτερος τοῦ πατριάρχου· καὶ οὐ μόνος ἐγὼ, ἀλλὰ καὶ ἀδελφοὺς τρεῖς τοῦ μοναστηρίου ἡμῶν εἶδον ἐκεῖσε„. Καὶ ἠρώτησεν αὐτὸν ὁ μακάριος Ἰσάκιος "Ποῦ ἵσταντο οἱ ἀδελφοί;„ Ὁ δέ φησιν "Ὅτι ὁ μὲν εἷς ἐγγύθεν τῶν καγγέλων, ὁ δὲ δεύτερος πλησίον τοῦ ἄμβωνος, καὶ ὁ τρίτος ἐγγὺς τῶν πυλεώνων τῶν μεγάλων„. Ταῦτα ἀκούσας ὁ θεοφόρος Ἰσάκιος, προσκαλεσάμενος τὸν ὀστιάριον αὐτοῦ, παραγγέλλει αὐτῷ, λέγων ὅτι "Τοὺς ἀδελφοὺς τοὺς ἐρχομένους ἀπὸ τῆς συνάξεως τῆς ἁγίας Ἀναλήψεως, ἕνα ἕνα φέρε μοι ὧδε„. Καὶ ἐλθόντων αὐτῶν, ἤγαγεν αὐτοὺς πρὸς αὐτόν . . . . . Μετὰ δὲ χρόνον τινα βασιλεύοντος Θεοδοσίου τοῦ μεγάλου καὶ Νεκταρίου τοῦ ἁγιωτάτου τὸν θρόνον τῆς ἐπισκοπῆς ἐπέχοντος, ἐκοιμήθη ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰσάκιος. Καὶ ἐλθόντος τοῦ ἐπισκόπου Νεκταρίου ἐν τῇ μονῇ καὶ ἐρωτῶντος τοῖς πρεσβυτέροις καὶ τοῖς λοιποῖς μοναχοῖς τὸ, τίνα ἂν αὐτῶν βούλοιντο εἶναι ἡγούμενον, πάντες ὁμοθυμαδὸν εἶπον τὸν μακάριον Δαλμάτον θέλειν, ὃν καὶ ὁ Θεὸς ἐξελέξατο καὶ ἀφώρισεν· ὁ δὲ οὐκ ἐπείθετο αὐτοῖς, ἀνάξιον ἑαυτὸν ὑπολαβὼν καὶ ἰδιώτην καὶ ἀνίκανον· μόλις δέ ποτε πεισθέντος αὐτοῦ, κοινῇ πάντων ψήφῳ καὶ τῇ τοῦ Θεοῦ βουλήσει, κατέστησαν αὐτὸν ἡγούμενον, χειροτονήσαντες ὁμοῦ καὶ πρεσβύτερον τῷ εἰκοστῷ δευτέρῳ ἔτει τῆς ἐκ τοῦ κόσμου αὐτοῦ ὑποχωρήσεως· καὶ γὰρ τριακοστὸς ἀπετάξατο, καθὼς ἐκ τῶν χρονικῶν ἀνεμάθομεν· καὶ δείκνυται συμβιωτεύσας τῷ (233α1) μακαρίῳ Ἰσακίῳ χρόνους δεκαέξ· ὁ γὰρ ἐν ἁγίοις Ἰσάκιος κϐ' χρόνους ποιεῖ ἐν Κωνσταντινουπόλει· τῷ οὖν δευτέρῳ ἔτει τῆς Ἀρκαδίου, υἱοῦ Θεοδοσίου, βασιλείας χειροτονεῖται ὁ ἀοίδιμος Δαλμάτος ἡγούμενος καὶ πρεσβύτερος· καὶ ἦν λοιπὸν ὁ ἅγιος διαπρέπων ἐν τῇ ἀσκήσει . . . . . κατὰ πάντα ἐξομοιούμενος τρόπον ἢ καὶ ὑπερβαίνων τοῦ θεοφόρου Ἰσακίου. . . . Συνέβη οὖν μετὰ (233β2) χρόνον ὀλίγον τελειωθῆναι τὸν ἐν ἁγίοις ἐπίσκοπον Κωνσταντινουπόλεως Νεκτάριον, κρατήσαντα τῆς ἐπισκοπῆς χρόνους ἓξ πρὸς τοῖς δέκα, σὺν μησὶ τέσσαρσι. Καὶ μετ' αὐτὸν, Ἰωάννης ὁ Χρυσόστομος, ἀχθεὶς ἀπὸ Ἀντιοχείας τῆς μεγάλης, χρόνους πέντε. Καὶ τούτου ἐν ἐξορίᾳ τελευτήσαντος, εἰσάγεται ἀντ' αὐτοῦ Ἀρσάκιος, ἐπισκοπεύσασθαι χρόνους ι΄. Καὶ μετ' αὐτὸν Ἀττικὸς ἔτη κ΄, μῆνας ἓξ. Καὶ τούτου τελευτήσαντος, διαδέχεται τὸν θρόνον τῆς ἐπισκοπῆς Σισίνιος, ἀνὴρ εὐλαβὴς καὶ φιλόθεος. Καὶ τούτου διαπρέψαντος ἐν τῇ ἐπισκοπῇ ἔτος ἕν, μῆνας δέκα, καὶ πρὸς Κύριον ἐκδημήσαντος, πολλὴ φιλονεικία τῇ ἐκκλησίᾳ καὶ τοῖς ἱερεῦσιν ἐγένετο, τίς ἄρα ὀφείλει ἐπισκοπεῦσαι ἐν τῇ βασιλευούσῃ. Ζητήσεως οὖν πολλῆς γεγονυίας ποῦ εὑρεῖν δυνηθῶσιν ἄνδρα θεοσεβῆ καὶ συνετὸν, τὸν ὀφείλοντα ἱερατεύειν ἐν ταύτῃ τῇ μεγαλοπόλει . . . . καὶ διελθουσῶν ἡμερῶν οὐκ ὀλίγων περὶ τῆς ζητήσεως ταύτης, φήμη (234α1) διέδραμε περί τινος, Νεστορίου ὀνόματι, ὡς ἀξίου ὄντος αὐτοῦ εἰς τὸ γενέσθαι ἐπίσκοπον Κωνσταντινουπόλεως· καὶ τὰ μὲν ἔνδοθεν αὐτοῦ οὐδεὶς ἠπίστατο εἰμὴ μόνος ὁ Θεός· τὰ δὲ ἔξωθεν αὐτοῦ ὑπῆρχεν ἐν προσχήματι δορᾷ προβάτου σχηματιζόμενος, καὶ ὑποκρινόμενος τὴν εὐσέβειαν . . . . . Τῷ δὲ ἁγίῳ πατρὶ ἡμῶν Δαλμάτῳ οὐδὲ τοῦτο ἀπέκρυψεν ὁ Θεὸς, ἀλλ' ἀπεκάλυψεν αὐτῷ δι' ὀπτασίας . . . . . καὶ χειροτονηθεὶς ὁ ἀνάξιος τῆς ἱερωσύνης Νεστόριος ἦλθεν ἐν τῷ μοναστηρίῳ, καθὼς ἔθος ἐστὶ κρατηθὲν ἐκ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰσακίου τὸ ἔρχεσθαι τὸν καθ' ἡμέραν (234α2) ἐπίσκοπον καὶ προσκυνεῖν τοὺς ἁγίους. Ἐλθὼν οὖν καὶ αὐτὸς Νεστόριος μετὰ καὶ τοῦ κλήρου τῆς μεγάλης ἐκκλησίας τοῦ προσκυνῆσαι τὸν ὅσιον, καὶ θελήσαντος αὐτοῦ εἰσελθεῖν εἰς τὸ κελλίον τοῦ ἀνδρὸς, διεκώλυσεν αὐτὸν λέγων. "Ἄπελθε διόρθωσαι τὰ κρυπτὰ τῆς καρδίας σου· καὶ τότε εἰσέρχῃ εἰς τὸ κελλίον μου„. Ταῦτα ἀκούσας ὁ δυσώνυμος Νεστόριος, σκότους καὶ αἰδοῦς πλησθείς, ἐξῆλθε καὶ ἀπῆλθε καὶ μὴ βουλόμενος· ὁ-

σοι δὲ τῶν τῆς πόλεως ἤρχοντο προσκυνῆσαι τὸν ἅγιον κληρικῶν τε καὶ κοσμικῶν, παρήγγελλεν αὐτοῖς ὁ ὅσιος λέγων· Γρηγορεῖτε καὶ βλέπετε ἑαυτούς . . . . . Διὰ ταύτας οὖν τὰς βλασφημίας αὐτοῦ Σύνοδος συνεκροτήθη οἰκουμενικὴ ἐν τῇ Ἐφεσίων μητροπόλει, κατὰ κέλευσιν Θεοδοσίου τοῦ βασιλέως· καὶ καθελὼν τὸν μιαρὸν Νεστόριον τοῦ θρόνου Κωνσταντινουπόλεως καὶ ἄκοντα ἐν Ἐφέσῳ ἔπεμψεν· ἀλλὰ καὶ ἐκεῖσε πάλιν ἀπελθὼν ὁ δεῖλαιος τῇ βλασφημίᾳ προστιθεὶς οὐκ ἐπαύσατο . . . . . συναχθεῖσα γὰρ ἡ ἁγία Σύνοδος ἐν Ἐφέσῳ . . . . . καθεῖλεν αὐτὸν τῇ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος, ἀναθέματι ὑποβαλοῦσα, ὅπως λοιπὸν τῆς οἰκουμένης ὅλης ἐκκοπῇ τὰ σκάνδαλα. Τούτου οὖν διαβοηθέντος ἐν Κωνσταντινουπόλει, πάντες οἱ τὰ ἐκείνου φρονοῦντες καὶ παρ' αὐτοῦ λαβόντες τὰ ἐκκλησιαστικὰ πάντα, συνεσκευάζοντο φρουροῦντες τὰ πλοῖα καὶ τὰς ὁδούς, καὶ μὴ συγχωροῦντες μήτε ἐλθεῖν ἐν Κωνσταντινουπόλει τινὰ τῶν τῆς ἁγίας Συνόδου, μήτε ἀπελθεῖν ἐκεῖ τινὰ τῶν ὀρθοδόξων, ἀλλὰ μόνον τὰ τοῦ ἐχθροῦ τοῦ Χριστοῦ ἠπείγοντο καὶ ἐφέροντο γράμματά (235α1) τε καὶ μηνύματα . . . . . ἐξ οἰκονομίας Θεοῦ, ἔρχεται ἐπιστολὴ ἀπὸ Ἐφέσου γραφεῖσα παρὰ τῆς ἁγίας Συνόδου πρὸς τὸν ἀρχιμανδρίτην πάντων τῶν τῆς βασιλευούσης πόλεως μοναστηρίων Δαλμάτου καὶ πρὸς Κωμάριον Ποτάμονα ἐπίσκοπον, πεμφθεῖσα διά τινος ἐπαίτου· δήσαντες γὰρ τὴν ἐπιστολὴν καὶ ἐνθέντες ἔσωθεν καλάμου, οὕτως ἐπαιτῶν καὶ ἐπιφερόμενος τὸν κάλαμον, ἤνεγκε ταύτην πρὸς τὸν ἅγιον Δαλμάτον· ὃς δεξάμενος ταύτην καὶ ἀναγνοὺς, καὶ γνοὺς τὴν δύναμιν αὐτῆς, ἐταράχθη σφόδρα, καὶ διενοεῖτο ἐπὶ τοῦτο ὅ,τι καὶ πράξοι· ἦν γὰρ ἔχων τεσσαράκοντα καὶ ὀκτὼ ἔτη μὴ ἐξελθὼν τοῦ κελλίου αὐτοῦ, ἀλλὰ πάμπαν ἀπρόϊτος ὤν, ἔμενεν ἔνδον ἡσυχάζων . . . . . ἐξελθών, προσεκαλέσατο τοὺς μοναχοὺς ἅπαντας τῆς ὑπ' αὐτὸν ποίμνης καὶ τοὺς ἡγουμένους τῶν λοιπῶν μοναστηρίων· καὶ συναχθέντων εἰς πλῆθος, καὶ γὰρ καὶ τῶν κατὰ κόσμον ὀρθοδόξων ἄνδρες οὐκ ὀλίγοι συνηθροίσθησαν, μετὰ λιτανείας καὶ ᾠδῶν καὶ συμφωνίας πνευματικῆς, ἦλθον εἰς τὸ παλάτιον. Ὡς οὖν ἤκουσεν ὁ βασιλεὺς τῆς φωνῆς τῶν ψαλλόντων, ἠρώτησε τοῖς σὺν αὐτῷ παρεστῶσι λέγων· "Τίς ὁ ἦχος, καὶ τίς ἡ ψαλμῳδία τῶν ᾀδόντων„. Καὶ λέγουσιν αὐτῷ, ὅτι Δαλμάτος ἐστίν· ἐθαύμασε λέγων ὅτι "Πολλάκις (235β2) ἀπῆλθον πρὸς αὐτὸν, σεισμῶν γενομένων, καὶ παρεκάλεσα αὐτὸν ἐξελθεῖν καὶ λιτανεῦσαι, καὶ οὐκ ἐπείσθη μοι· καὶ νῦν, τί ἐστιν ὅτι παραγέγονε;„ Καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ· καὶ βαλὼν αὐτῷ μετάνοιαν, καὶ ἀσπασάμενος, καὶ εὐλογηθεὶς ὑπ' αὐτοῦ, εἰσῆλθε μετὰ τοῦ βασιλέως· τὸ δὲ πλεῖστον, ἔξωθεν ἔμεινε ψάλλοντες· ἰδιάσας οὖν . . . . . ἀπήγγειλεν αὐτῷ * πάντα τὰ συμβάντα. ὑποδείξας αὐτῷ καὶ τὴν ἐπιστολὴν τὴν πεμφθεῖσαν παρὰ τῆς ἁγίας Συνόδου . . . . . καὶ ἀνελθὼν ἐν τῷ ἄμβωνι ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Δαλμάτος, εἶπε πρὸς τὸν λαόν· "Ἄνδρες ἀδελφοὶ καὶ πατέρες· εἰ θέλετε ἀκοῦσαι, ἡσυχάσατε μικρὸν καὶ μακροθυμήσατε· καὶ μὴ θελήσητε ἐμποδίσαι τοῖς λεγομένοις· κἀγὼ ὑμῖν ἀναγγείλω τὰ ῥήματα, ἃ ἀκριβῶς παρὰ τοῦ βασιλέως ἤκουσα περὶ τῆς ἁγίας Συνόδου. Ὁ εὐσεβέστατος βασιλεὺς ἀνέγνω τὴν ἐπιστολὴν τὴν πεμφθεῖσαν ἡμῖν παρὰ τῆς ἁγίας Συνόδου καὶ ἃ οὐκ ἔγνω ἐπέγνω· καὶ τὰ μὲν διὰ τῆς ἐπιστολῆς ἐπέγνω, τὰ δὲ παρὰ τῆς ἡμετέρας εὐτελείας· ἐγγαρίσθη δὲ αὐτῷ καὶ τὰ τῆς σκαιότητος τοῦ ἀθλίου Νεστορίου„ . . . . . Τούτοις πᾶσιν ὑπαναγνοὺς τοῖς λαοῖς ὁ μακάριος Δαλμάτος ἐν τῷ τοῦ ἁγίου μάρτυρος Μωκίου σηκῷ, καὶ ἐπαλείψας ἅπασι τοῦ μὴ ἐξακολουθῆσαι τὸ τοῦ λοιμώδους Νεστορίου δόγμα τὸ ἔκφυλον, μετ' εἰρήνης ἀπέλυσεν αὐτοὺς εἰς τὰ ἴδια. Μετὰ ταῦτα, πείθει τὸν βασιλέα Θεοδόσιον γράψαι κέλευσιν τῇ ἱερᾷ Συνόδῳ συμψηφισάμενος καὶ αὐτὸς τὴν καθαίρεσιν Νεστορίου· ἀντιγράφει δὲ καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Δαλμάτος, ὡς ἐκ προσώπου πάσης τῆς Ἐκκλησίας καὶ τῶν λογάδων τῆς πόλεως, τὰ εἰκότα πρὸς τὸν ἐν ἁγίοις Κύριλλον ἀρχιεπίσκοπον Ἀλεξανδρείας· ὡς ἀναθέματι πάντες οἱ τὴν πόλιν οἰκοῦντες καὶ καθαίρεσιν παντελῶς καὶ ἀλλοτρίωσιν ἐκ Θεοῦ καὶ τῆς τῶν χριστιανῶν πίστεως, ἥτις γέγονε διὰ τῆς ἐκ παρθένου ἐνανθρωπήσεως, διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθυπέβαλον. (237α1) Εἶτα ἀντιγράφει αὐτῷ πάλιν ἡ ἁγία Σύνοδος ἐπιστολὰς ἑτέρας πέντε· καὶ συμφωνοῦσιν ὅ τε ἐν ἁγίοις Κύριλλος καὶ ἡ πᾶσα ἱερὰ Σύνοδος μετὰ καὶ τοῦ ἐν ἁγίοις Κελεστίνου πάπα Ῥώμης, καὶ ἐκφέρουσι ψῆφον μετὰ τὴν καθαίρεσιν Νεστορίου τοῦ θεοστυγοῦς, μετὰ ἀναθέματος καὶ ὑπογραφῶν τοῦ εἶναι ἀρχιμανδρίτην καὶ ἔξαρχον, πρωτοπρεσβύτερον καὶ ἄρχοντα τὸν ἐν ἁγίοις

* τῷ Θεοδοσίῳ Β' δῆλα δή.

καὶ μακάριον Δαλμάτον, καὶ τοὺς μετ' αὐτὸν ἡγουμενεύειν μέλλοντας τῇ αὐτοῦ μονῇ, πάντων τῶν εὐαγῶν μοναστηρίων τῆς πόλεως ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἀποδόντες αὐτῷ τὰ πρεσβεῖα μετὰ καὶ συναινέσεως τῶν ἁγιωτάτων καὶ φιλοχρίστων βασιλέων Θεοδοσίου καὶ Οὐαλεντίνου Ῥώμης, ἐγγράφως ἐξέθεντο . . . . . Μετὰ οὖν τὸ πληρωθῆναι ταῦτα πάντα, διαδέχεται τὸν αἱρετικὸν Νεστόριον Μαξιμιανός· καὶ τούτου καλῶς κυβερνήσαντος τὴν ἁγιωτάτην Ἐκκλησίαν Κωνσταντινουπόλεως καὶ ἐν εἰρήνῃ κοιμηθέντος, διεδέξατο τὴν ἐπισκοπὴν αὐτοῦ Πρόκλος, ἀνὴρ ἑλλόγιμος καὶ ὀρθόδοξος, οὗτινος καὶ ὁμιλίαι ὀρθόδοξοι καὶ ἐπιστολαὶ φέρονται μέχρι τοῦ νῦν· ἐπὶ τούτου οὖν τοῦ ἐπισκόπου, ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν (237 b 1) Δαλμάτος ἐκοιμήθη ἐν εἰρήνῃ . . . . . Ὁ οὖν μακάριος Φαῦστος ἦν ὡς ἀληθῶς ἀγγελικὸν τὸν βίον κεκτημένος, ἐν καλῇ καταστάσει, κατὰ πάντα ἀπηκριβωμένος, ἐξομοιούμενος τῷ πατρὶ, οὐ μόνον τῇ σωματικῇ ἰδέᾳ, ἣν καὶ αὐτὸς βαθὺ τὸν πώγωνα ὡς Ἀαρὼν ἔχων, πραῦ δὲ τὸ πρόσωπον, κατηγλαϊσμένον τῇ χάριτι τοῦ ἁγίου Πνεύματος, εἰς γῆρας λοιπὸν καὶ αὐτὸς καταντήσας· ἀλλὰ καὶ ταῖς (238 a 1) ψυχικαῖς ἀρεταῖς καλλυνόμενος καὶ φαιδρυνόμενος, δίκην φωστῆρος τοῖς πᾶσιν ἔλαμπε· καὶ ἦν ἐν μέσῳ τῆς ἀδελφότητος τοῖς πᾶσιν ὑπερανεστηκώς, καὶ ὑπερβαλλόντως ὑπερέχων ἅπασι πράξει τε καὶ λόγῳ· ὃν καὶ εὐλογήσας ὁ πατὴρ καὶ πλεῖστα ἐπευξάμενος καὶ νουθετήσας οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ πᾶσαν τὴν ἀδελφότητα, περί τε ἐγκρατείας καὶ σωφροσύνης καὶ ἁγνείας, περί τε ταπεινώσεως καὶ ὑπακοῆς καὶ ἐλεημοσύνης, καὶ ἐπευξάμενος αὐτοὺς, καὶ εὐλογήσας, καὶ τὸ τελευταῖον ἀσπασάμενος, ... εἰς χεῖρας Θεοῦ παρέδωκε τὸ πνεῦμα, καλῶς κυβερνήσας τὴν ἐμπιστευθεῖσαν αὐτῷ ποίμνην ὑπὸ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐπὶ χρόνοις π ντηκ.νταπέντε· ὁ δὲ πᾶς τῆς ζωῆς αὐτοῦ χρόνος γέγονεν ὀγδοηκοστὸς πέμπτος. Ὡς δὲ ἀκουστὴ ἐγένετο ἡ τοῦ ἁγίου κοίμησις πάσῃ τῇ πόλει, ἦν ἰδεῖν ὡς ἐξ ἑνὸς συνθήματος ἅπαντας συρρέοντας ἐπιτοαυτὸ, ἀπό τε ἱερέως (238 a 2) καὶ πρεσβύτου, νεανίσκου τε καὶ μοναχῶν τάγματα ἄπειρα· ἁπάντων συντρεχόντων ἐπὶ τῇ κηδείᾳ τοῦ ἱεροῦ καὶ τιμίου αὐτοῦ λειψάνου, καὶ ἑκάστου αὐτῶν κηροὺς ἐπιφερομένων ἐν ταῖς χερσὶν αὐτῶν, ὡς μηδὲ γυναιξὶ παραιτεῖσθαι λαϊκῶν τε καὶ παρθένων τῆς ἱερᾶς ἐκείνης προπομπῆς· καὶ τοσοῦτος ὥστε μηδὲ τὰ πρὸς τὴν θύραν χωρεῖν τοῦ μοναστηρίου αὐτοῦ· καὶ οὕτως λοιπὸν ἀνεκομίσθη τὸ τίμιον αὐτοῦ λείψανον ὑπὸ εὐλαβῶν ἀνδρῶν, καὶ παντὸς τοῦ πλήθους ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ πρὸς τὸ ἀσπάσασθαι αὐτὸ . . . . . κἀκεῖθεν προεκομίσθη ἐν τῇ μονῇ αὐτοῦ, προάγοντος ἔμπροσθεν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Πρόκλου καὶ παντὸς τοῦ εὐαγοῦς κλήρου καὶ πάντων τῶν μοναστηρίων, συντρεχούσης, ὡς εἴρηται, καὶ τῆς πόλεως πάσης· καὶ ἕκαστος αὐτῶν ἐσπούδαζε τοῦ ἱεροῦ ἐκείνου σκίμποδος ἅπτεσθαι καὶ εὐλογίας ἀξιωθῆναι τῆς ἐξερχομένης διὰ Πνεύματος ἁγίου ἐξ αὐτοῦ . . . . . Μετὰ δὲ τὴν κηδείαν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ καθαιρέτου τῆς Νεστορίου αἱρέσεως Δαλμάτου τοῦ ὁσιωτάτου, Πρόκλος ὁ ἀοίδιμος πατριάρχης, συγκαλεσάμενος πᾶσαν τὴν ἀδελφότητα τοῦ αὐτοῦ εὐαγοῦς μοναστηρίου, χειροτονεῖ αὐτοῖς τὸν μακάριον καὶ ὅσιον Φαῦστον ἀντὶ τοῦ ἐν ἁγίοις Δαλμάτου, πρεσβύτερον, ἀρχιμανδρίτην καὶ ἡγούμενον, καὶ ἄρχοντα πάντων τῶν τῆς βασιλίδος μοναστηρίων, κατὰ τὸ κρατῆσαν (238 b 2) ἔθος τῶν ἁγίων συνόδων· καὶ μετὰ ταῦτα, ἐν χαρᾷ ὑπέστρεψεν ἐν τῷ ἐπισκοπείῳ αὐτοῦ. Μετὰ δὲ τρίτην ἡμέραν τῆς κοιμήσεως τοῦ ὁσίου, τὸ θαυματόβρυτον καὶ τρισόσιον αὐτοῦ λείψανον μῦρον ἀνέβλυσεν ἐκ τοῦ ἱεροῦ αὐτοῦ τύμβου, εὐωδίας πνέοντα τοῦ ἁγίου Πνεύματος καὶ τοσοῦτον, ὥστε πληρωθῆναι τὸν ὑποκείμενον ἐκεῖνον τόπον· ὅπερ ἀκουσθὲν ἐν ὅλῃ τῇ πόλει, μετὰ σπουδῆς ἅπαντες ἔδραμον ἀρύσασθαι ἐξ αὐτοῦ, καὶ λαμβάνοντες, πίστει τε χριόμενοι ἐξ αὐτοῦ ἰῶντο ἀπὸ τῶν νόσων αὐτῶν, οὐ μόνον τῶν σωματικῶν, ἀλλὰ πολλῷ μᾶλλον τῶν ψυχικῶν. Τοῦτο τὸ τέλος τοῦ μακαρίου· κἀκείνη ἡ ἀρχὴ τοῦ θαυμαστοῦ καὶ ἐναρέτου αὐτοῦ βίου. Ἐτελειώθη ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Δαλμάτος μηνὶ αὐγούστῳ δευτέρᾳ, ἐν ᾗ ἐπιτελεῖται ἡ ἀνακομιδὴ τοῦ ἁγίου λειψάνου Στεφάνου τοῦ πρωτομάρτυρος, καὶ ἐτάφη τῇ τρίτῃ τοῦ αὐτοῦ μηνός. Ὁ δέ γε ἀοίδιμος αὐτοῦ υἱὸς καὶ ὅσιος Φαῦστος, ἔμεινε ποιμαίνων καλῶς καὶ θεαρέστως τὴν ἐμπιστευθεῖσαν αὐτῷ ποίμνην, κατὰ τὸν δοθέντα αὐτῷ τύπον (239 a 1) παρὰ τοῦ πατρὸς ἀπαραλείπτως ἕως χρόνους ἱκανοὺς, καὶ αὐτὸς εἰς γῆρας βαθὺ καταντήσας· φαίνεται γὰρ μέχρι τῆς εὐσεβοῦς βασιλείας Μαρκιανοῦ ἐπιβιῶναι, καὶ πολλῶν χαρισμάτων καὶ δωρεῶν ἰαμάτων παντοδαπῶν ἀξιωθῆναι παρὰ Θεοῦ διὰ τῆς ἐναρέτου αὐτοῦ καὶ θεαρέστου διαγωγῆς καὶ πολιτείας».

* * *

3. Θεοκλητοῦς ὁσίας.

Ἤκμασεν ἐπὶ Θεοφίλου· θυγάτηρ Κωνσταντίνου καὶ Ἀναστασίας, εἵλκε τὴν καταγωγὴν ἐκ τοῦ θέματος τοῦ Ὀψικίου[16], οὖσα γυνὴ εὐσεβὴς καὶ ἐλεήμων, κατὰ τὸν Συναξαριστήν.

§

4. Τὰ ἐγκαίνια τοῦ Ἁγίου μάρτυρος Προκοπίου πλησίον τῆς Χελώνης.

Ἡ μνήμη παρὰ τῷ Λαυριωτικῷ Δ39 Συναξαριστῇ. Περὶ τοῦ ναοῦ ἴδε εἰς τὴν 8 ἰουλίου.

* * *

4. Τὰ ἐγκαίνια τοῦ περικαλλοῦς καὶ θείου ναοῦ τῆς μονῆς τοῦ Σωτῆρος Χριστοῦ τοῦ Παντοκράτορος.

Ἐκτίσθη ὑπὸ τῆς Εἰρήνης συζύγου Ἰωάννου τοῦ Κομνηνοῦ, συμπληρώσαντος τὴν οἰκοδομήν, μεγαλοπρεπῆ καὶ πολυδάπανον γενομένην· μετὰ τὸ 1204 ἦν ναὸς τοῦ λατινικοῦ δόγματος· λέγεται ὅτι περιελάμβανεν ἐπὶ τῶν Κομνηνῶν ἑπτακοσίους μοναχούς. Τῷ 1432, φροντίδι τοῦ ἡγουμένου αὐτῆς Μακαρίου Μακρῆ, ἀνεκαινίσθη, ὡς φαίνεται, καὶ ἐπλουτίσθη ἡ μονὴ αὕτη, ἐν ᾗ κατὰ τὸν ΙΕ΄ αἰῶνα ἐρυλάσσετο ὁ λίθος, ἐφ' οὗ ἀνακλιθὲν ἐσμυρνίσθη τὸ σῶμα τοῦ Σωτῆρος[17]· τὸν λίθον τοῦτον κείμενον ἐν τῷ λιμένι τοῦ Βουκολέοντος αὐτὸς ὁ Μανουὴλ βαστάζων μετεκόμισεν εἰς τὸν ἐν τῷ Φάρῳ τοῦ παλατίου ναόν· μετὰ θάνατον αὐτοῦ μετήνεγκον εἰς τὴν μονὴν τοῦ Παντοκράτορος ἀνακείμενον εἰς προσκύνησιν τῶν πιστῶν ἐπὶ κρηπίδος παρὰ τὸν τάφον Μανουὴλ τοῦ Κομνηνοῦ[18].—Κατὰ τὸν ΙΔ΄ αἰῶνα εἶχεν ἴδιον ἡ μονὴ αὕτη κτῆμα τὸ χωρίον Βάρη ἢ Μῆλα, ὅπερ ἦν δεδωρημένον πρὸ τοῦ 1230 τῇ μονῇ τῶν Λέμβων· ἡ μονὴ τοῦ Παντοκράτορος εἶχε κτήματα τῷ 1194 καὶ ἐν Σμύρνῃ[19].

§

5. Ἵας μάρτυρος.

Δύο Ἵαι παρὰ τῷ Συναξαριστῇ τῇ 10 καὶ 11 σεπτεμβρίου· παρὰ τῷ Μηναίῳ τῇ 4 αὐγούστου· κατὰ τὰ ἀρχαιότερα Εὐαγγέλια τῇ 5.

Ναὸς τῆς ἁγίας Ἵας, προϋπάρχων καὶ τῷ χρόνῳ καταπεπτωκὼς, ᾠκοδομήθη τὸ δεύτερον ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ πολυτελέστερος· ἔκειτο δ' ἔσωθεν τῆς Χρυσῆς Πύλης ἀριστερᾷ τῷ εἰσερχομένῳ[20].

* * *

Εὐθυμίου πατριάρχου Κωνσταντινουπόλεως.

Ἡ μνήμη κατὰ τὸ 426 Εὐαγγέλιον. Τὸ γένος ἕλκων ἐκ Σελευκείας, ἐγένετο μοναχὸς ἐν Ὀλύμπῳ τῆς Βιθυνίας καὶ ἔν τινι μοναστηρίῳ κατὰ τὸν Ἀστακηνὸν κόλπον, ἐχρημάτισε δὲ σύγκελλος τοῦ πατριάρχου Στεφάνου Α΄· «θεοσεβὴς καὶ ἀρετῆς ἥκων εἰς τὸ ἀκρότατον»[21] ἐδέξατο τὸν πατριαρχικὸν θρόνον βιασθεὶς κυρίως ὑπὸ τῶν τοποτηρητῶν τοῦ πάπα Ῥώμης. Ἱεράτευσεν ἀπὸ τοῦ 906-911 παυθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ ἀδελφοῦ Λέοντος Σοφοῦ καὶ περιωρίσθη εἰς τὴν μονὴν τοῦ Ἀγαθοῦ, ἐν ᾗ ἀπεβίωσε τῇ 5 αὐγούστου 917 κατὰ τὸν De Boor, ταφεὶς αὐτόθι[22].

§

6. **Ἡ μεταμόρφωσις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.**

Ἡ προέλευσις τῆς 6 αὐγούστου μέχρι τοῦ ΙΒ΄ αἰῶνος ἐγίνετο ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας· ἀπὸ τοῦ ΙΒ΄ καὶ ἑξῆς ἐν τῇ περικαλλεῖ μονῇ τοῦ Παντοκράτορος[23].

---

16. τὸ Σῆμα τοῦ Ὀψικίου περιελάμβανε, κατὰ τὸν Πορφυρογέννητον (ἐν τῷ περὶ Θεμάτων βιβλίῳ) τὰς σημερινὰς μητροπόλεις Κυζίκου, Νικαίας, Προύσης καὶ Ἀγκύρας. Ἔχον πόλεις Κοτύαιον, Δορύλαιον, Μύρλειαν, Λάμψακον, Ἄβυδον, Πάριον (Κεμὲρ τὴν σήμερον), Κύζικον κλπ.

17. βλ. προχείρως Πασπάτη Μελέτας, σελ. 309-313, καὶ Σκ. Βυζαντίου «Κωνσταντινούπολιν», Α΄, σ. 554-556. Ἐσφαλμένως ὁ Πασπάτης ἔγραψεν ἐν σελίδι 309, ὑποσημειώσει 5, ὅτι ὁ Φραντζῆς ὀνομάζει τὴν τῆς μονῆς κτιτόρισσαν Εἰρήνην, τὴν κατόπι Ξένην μοναχὴν, Ὑπομονὴν, διότι ὁ δυστυχὴς Φραντζῆς γράφει περὶ τῆς συζύγου Ἰωάννου τοῦ Παλαιολόγου Εἰρήνης, τῆς ἀποθανούσης τὴν 23 μαρτίου 1449. Φραντζῆς· σελ. 210. Τὸ τέμενός ἐστι γνωστὸν σήμερον ὑπὸ τὸ ὄνομα Ζεϊρέκ.

18. Νικ. Χωνιάτης· σελ. 289.

19. Miklosich καὶ Müller, Acta Monasteriorum· τόμ. Α΄, σελ. 13, 184.

20. Προκοπίου, Περὶ κτισμάτων· σελ. 201.

21. Κεδρηνός· Β΄, σελ. 265.

22. Ἴδε κατ' ἔκτασιν τὸν ὑπὸ De Boor ἐκδοθέντα Βίον Εὐθυμίου· ἐν Βερολίνῳ, 1888· περὶ δὲ τῶν ἐπὶ Εὐθυμίου πράξεων Πατριαρχ. Πίνακας, σελ. 296-298.

23. Πορφυρογεν. Ἐκθ. σελ. 779. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 81.

Εἰκὼν τῆς Μεταμορφώσεως ὑπῆρχε κατὰ τὸν Ι΄ αἰῶνα παράδοσις ὅτι «προτροπῇ Πέτρου τοῦ κορυφαίου γέγονεν ἡ ἐν Ῥώμῃ μέχρι τοῦ νῦν τηρουμένη» [24].—Κατὰ τὰ τέλη τοῦ ΙΒ΄ αἰῶνος ἐσῴζετο (πιθανῶς ἐν τῷ ναῷ τῶν Μ΄ μαρτύρων) εἰκὼν τοῦ Σωτῆρος ἡ κατὰ παράδοσιν λαλήσασα Μαυρικίῳ τῷ αὐτοκράτορι· ταύτην Ἀνδρόνικος ὁ Κομνηνὸς περιέβαλε πολυτελεῖ κόσμῳ [25].—Ἑτέραν εἰκόνα τοῦ Σωτῆρος θαυματουργήσασαν ἐν Βηρυττῷ μετεκόμισεν ἐκ τῆς πόλεως ταύτης Ἰωάννης ὁ Τζιμισκὴς εἰς Κωνσταντινούπολιν ἀποθησαυρίσας ἐν τῷ ναῷ τοῦ Σωτῆρος ἐν τῇ Χαλκῇ. Γνωστὴ δὲ τοῖς ἀναγινώσκουσι τοὺς Συναξαριστὰς ἡ ἐπὶ τῆς Χαλκῆς πύλης τοῦ παλατίου ἀνεστηλωμένη περιώνυμος εἰκὼν τοῦ Σωτῆρος, «ἣν καθῆλε πάλαι Λέων ὁ δεσπόζων» δῆλον οὖν ὁ Ἴσαυρος, ἀνεστήλωσε δ' Εἰρήνη ἡ ἀθηναία μουσουργικήν, καθεῖλεν αὖθις Λέων ὁ Ε΄, καὶ πάλιν ἐζωγράφησε Λάζαρος ὁ ζωγράφος ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας [26]· ταύτην ἐκάλυπτε βῆλον, ἤτοι παραπέτασμα φέρον ἐζωγραφημένην ἐπ' αὐτοῦ τὴν θεανδρικὴν μορφὴν θαυματουργοῦσαν [27]. Περὶ δὲ ἑτέρων εἰκόνων τοῦ Σωτῆρος θαυματουργῶν γίνεται λόγος ἐν τῇ Ζ΄ οἰκουμενικῇ Συνόδῳ, ἐν τῇ πρὸς Θεόφιλον ἐπιστολῇ τῆς ἐν Ἱεροσολύμοις τοπικῆς συνόδου καὶ ἐν ἰδίοις Συναξαρίοις· περὶ τούτων ἠδύνατο 'να γραφῇ βιβλίον ὁλόκληρον καὶ ἕδρα ἰδία μαθήματος, Ἱστορίας τῶν εἰκόνων ἐν γένει 'να δημιουργηθῇ.

Περὶ τῆς νηστείας, ἥτις προηγεῖται τῆς ἑορτῆς τῆς Μεταμορφώσεως, ὡς καὶ τῆς πρὸ τῆς ἑορτῆς τῆς Κοιμήσεως, εὑρίσκομεν παρὰ τῷ Νίκωνι ὅτι Λέων ὁ Σοφός, αἴρων πᾶσαν ἀμφισβήτησιν, ἐτύπωσε δεκαπενθήμερον τὴν διάρκειαν τῶν δύο κατ' αὔγουστον νηστειῶν, ἃς τότε τινὲς διήρουν, καὶ «δῆθεν τιμῶντες τὴν τοῦ Σωτῆρος ἑορτὴν ἧσθιον τῇ αὐτῇ ἡμέρᾳ (δῆλά γε δὴ τῇ τῆς Μεταμορφώσεως) τὸ κρέας» [28].

§

7. Δομετίου ὁσιομάρτυρος καὶ τῶν δύο μαθητῶν αὐτοῦ. Ἡ σύναξις εἰς τὸν ἅγιον αὐτῶν ναὸν πέραν εἰς τὰς Ἰουστινιανάς [29].

Ὁ ναὸς ἔκειτο ἐν Γαλατᾷ· φαίνεται δ' ὅτι ἦν ἀρχαῖος, ἐὰν εἰς αὐτὸν ἀνήκῃ ὁ ἐπὶ Μηνᾶ τοῦ πατριάρχου «Στρατόνικος ἡγούμενος τοῦ Ἁγίου μάρτυρος Δομετίου» [30].

* * *

7. Μνήμη τῶν Ἀβάρων ἐν Βλαχέρναις.

Ἀναφέρεται εἰς τὸ ἔτος 626 ἐπὶ Ἡρακλείου, ἐφ' οὗ γινώσκομεν ἐπελεύσεις τῆς πρὸ πολλοῦ λιπούσης τὴν ἱστορικὴν σκηνὴν φυλῆς ταύτης, ἀορίστως μὲν τὴν ἄχρι Σηλυβρίας καὶ τῶν πέριξ τῆς Κωνσταντινουπόλεως πολισμάτων, ἃ πάντα καὶ κυρίως τὰ περὶ τὸν ποταμὸν Βαρβύσσην ἐζημίωσεν [31], ὡρισμένως δὲ τὴν τῆς 5 ἰουνίου 623 (περὶ ἧς ὅμως εἴπομεν), ἐν ἡμέρᾳ Κυριακῇ, καθ' ἣν ἐζημίωσε τὸ Κοσμίδειον, καὶ τὴν τρίτην, βεβαίως ταύτην, καθ' ἣν ἔπαθον τό τε Κοσμίδειον καὶ τὰ πέριξ τῶν Βλαχερνῶν [32].

* * *

7. Τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένων βασιλισσῶν Πουλχερίας καὶ Εἰρήνης. Ἡ σύναξις ἐν τοῖς Ἁγίοις Ἀποστόλοις.

Ταῦτα κατὰ τὸν Λαυτιωτικὸν Δ39 Συναριστήν· ἀλλ' ἡ μνήμη Πουλχερίας καὶ Εἰρήνης ἀναφέρεται καὶ παρὰ τῷ Βασιλειανῷ. Μνήμην Πουλχερίας μόνης εὑρήσομεν καὶ ἀκολούθως, ἀγνοῶ δὲ διατί συμπίπτουσιν αἱ μνῆμαι τῶν δύο τούτων αὐγουστῶν εἰς τὴν αὐτὴν ἡμέραν. Ἂν ἡ Εἰρήνη αὕτη ἡ σὺν τῇ Πουλχερίᾳ ἑορταζομένη σήμερον ἢ ἡ ἐξ Ἀθηνῶν, ὀφείλει τὴν ἐν τῷ Ἑορτολογίῳ καὶ σὺν τοῖς ἁγίοις συναρίθμησιν εἰς ἃ γράφουσιν ὑπὲρ αὐτῆς Θεόδωρος ὁ Στουδίτης καὶ Θεοφάνης ὁ τῆς Σιγριανῆς, ἴσως δὲ συναρωγὸς εἰς τοῦτο ἐγένετο καὶ τῆς ἐν τῇ νήσῳ Πριγκήπῳ μονῆς ἡ σύστασις. Θεοφάνης ὁ χρονογράφος ποιεῖται μνείαν τῆς ἐν τῷ λιμένι τῆς Πριγκήπου οἰκοδομῆς παλατίου τῷ 570 ὑπὸ Ἰουστίνου Β΄, λέγει δὲ ταύτην οὖσαν προάστειον, ἤτοι ἔπαυλιν αὐτοῦ [33]. Εἰρήνη ἡ βασιλὶς ᾠκοδόμησεν ἐν

24. Συμ. μάγιστρος· σ. 607. Γεώργ. μοναχός· σ. 774.

25. Νικ. Χωνιάτης· σελ. 431.

26. Δουκαγγίου, Σημειώσεις εἰς Ζωναρᾶν (Δινδόρφ. Ϛ΄, σελ. 161).

27. βλ. προχείρως Σ. Βυζαντίου «Κωνσταντινούπολις» τόμ. Α΄, σελ. 192-193.

28. Νίκωνος, Περὶ νηστείας· Migne, τόμ. PKZ΄, 525.

29. ἡ μνήμη τῆς συνάξεως παρὰ Νικοδήμῳ.

30. Morcelli, Kalend. Β΄, σελ. 213. Δουκαγγίου, Const. Christ. σελ. 84, ἀριθ. XXXVI.

31. Νικηφ. πατριάρχης· σελ. 16.

32. Χρον. Πασχάλιον· σελ. 713 καὶ 725.

33. Θεοφ. Α΄, σελ. 375.

Πριγκήπῳ μονὴν, εἰς ἣν ὑπὸ Νικηφόρου περιωρίσθη κατὰ νοέμβριον τοῦ 802, εἶτα δ' ἐξωρίσθη εἰς Λέσβον, ὅπου ἀπέθανε τῇ 9 αὐγούστου 803, τοῦ λειψάνου αὐτῆς ἀνακομισθέντος εἰς τὴν μονὴν ταύτην, ἀκμάζουσαν ἐπὶ Λέοντος Ε'. Θεόδωρος ὁ Στουδίτης ἐξεπλάγη ἰδὼν τὴν ἀδελφότητα τῶν αὐτόθι μοναζουσῶν «ὅση τε καὶ ἡλίκη, ὅτι τε πλήθει νύξημένη, καὶ συνέσει διαφέρουσα »[34]. γυναικεία οὖσα ἀναφέρεται ἐπὶ Μιχαὴλ τοῦ Τραυλοῦ[35].

Ἐπὶ τῆς Εἰρήνης συνεκλήθη ἐν Νικαίᾳ τῆς Βιθυνίας ἡ Ζ' οἰκουμενικὴ Σύνοδος. Ὅτε δὲ τῆς ἀρχῆς ἐδράξατο Νικηφόρος ὁ ἀπὸ γενικῶν, ὁ λαὸς συνεπάθει τῇ Εἰρήνῃ καὶ ταύτην ἐτίμα, ὡς *ὑπὲρ τῆς ὀρθῆς πίστεως ἀθλήσασαν καὶ μαρτυρήσασαν*[36].

ℓ

8. Τὰ ἐγκαίνια τῶν Ἁγίων Ἀποστόλων Πέτρου καὶ Παύλου ἐν τῷ περιτειχίῳ τοῦ Ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, ἔνδον τοῦ σεπτοῦ οἴκου τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Μαρνακίου.

Ἡ μνήμη κεῖται παρὰ Νικοδήμῳ, παρ' ᾧ ἀναφέρεται καὶ ἡλιακὴ ἔκλειψις ὁλικὴ γενομένη τῇ 8 αὐγούστου 891. Ὁ καθορισμὸς τῶν ναῶν φαίνεταί μοι λίαν ἀσαφής· εἴδομεν ἤδη εἰς τὴν 15 τοῦ μαΐου καὶ τὴν 30 ἰουνίου ναοὺς ἁγίων ἀποστόλων καὶ Θεοτόκου ἐν τῷ Περιτειχίσματι, ἐν τοῖς Φιλοξένου πλησίον τοῦ Φόρου, καὶ ναὸν Πέτρου τοῦ ἀποστόλου ἐν Γαλατᾷ· ? ὑπῆρχεν ὅμως καὶ Ἰωάννου τοῦ Θεολόγου ναὸς αὐτόθι ; ?ὑπῆρχε καὶ ἐν Γαλατᾷ Περιτείχισμα ; Ἴσως ἔρευναι νεώτεραι ἀποδείξωσι τὴν ὕπαρξιν περιτειχισμάτων καὶ ναῶν· ἐφ' ὅσον ὅμως ἀναπόδεικτα μένουσι τὰ περὶ τῶν ἐν Γαλατᾷ ναῶν καὶ Περιτειχισμάτων, οἱ ναοὶ οὗτοι Ἰωάννου τοῦ Θεολόγου καὶ Πέτρου καὶ Παύλου ἐν Γαλατᾷ μενοῦσιν ἔξω τῆς παρεμβολῆς.

* * *

8. Ἐλευθερίου, Λεωνίδου καὶ τῶν ἁγίων νηπίων τῶν διὰ πυρὸς τελειωθέντων. Ἡ σύναξις αὐτῶν ἐν τῷ οἴκῳ τῆς ἁγίας Εἰρήνης πέραν ἐν Ἰουστινιαναῖς.

Ἡ μνήμη παρὰ Νικοδήμῳ. Περὶ τοῦ ναοῦ τούτου τῆς ἁγίας Εἰρήνης, τοῦ ἐν Γαλατᾷ, βλέπε εἰς τὴν 5 μαΐου.

* * *

8. Αἰμιλιανοῦ ἐπισκόπου Κυζίκου τοῦ ὁμολογητοῦ.

Ἤκμασεν ἐπὶ τῶν εἰκονομάχων· γενόμενος ἀνὴρ ἐλεήμων καὶ χρηστὸς, ὑπερμαχήσας δὲ τοῦ δόγματος τῶν ἁγίων Εἰκόνων ἐπὶ Λέοντος Ε', ἀπέθανεν ὑπερόριος ἐν εἰρήνῃ. Ταῦτα κατὰ τὸ λεγόμενον Βασιλειανόν.

ℓ

9. Ματθία τοῦ ἀποστόλου.

Τὸ λείψανον αὐτοῦ ἀπέκειτο ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων[37], ὅπου βεβαίως ἐτελεῖτο καὶ ἡ σύναξις αὐτοῦ.

* * *

9. Κωνσταντίνου πατριάρχου Κωνσταντινουπόλεως.

Ἁπλῆ μνεία τοῦ ὀνόματος ἐν τῷ λεγομένῳ Βασιλειανῷ· εἴδομεν μνήμην Κωνσταντίνου Κωνσταντινουπόλεως τῇ 29 ἰουλίου ἀναφερομένην προδήλως εἰς τὸν Κωνσταντῖνον Α', διότι ὁ μὲν Β' ἦν εἰκονομάχος σροδρὸς, καίπερ φρονευθεὶς ὑπὸ τοῦ Κοπρωνύμου καθὸ κατάγγελας ἐκεῖνον ὡς νεστοριανίζοντα· ὁ δὲ Γ' ἤκμασεν ἕνα σχεδὸν αἰῶνα μετὰ τὴν τοῦ Βασιλειανοῦ λεγομένην σύνταξιν.

* * *

9. Τῶν ἁγίων δέκα μαρτύρων τῶν διὰ τὴν ἁγίαν Εἰκόνα τοῦ Σωτῆρος ἐν τῇ Χαλκῇ πύλῃ ἀθλησάντων.

Μνεία τῶν ὀνομάτων αὐτῶν ἔν τε τῷ Μηναίῳ καὶ τοῖς Συναξαρισταῖς, ὧν μεταξὺ ἀναφέρεται Μαρία πατρικία, οὐχὶ δὲ ἡ Θεοδοσία· οὕτως ἐμπεδοῦται ἡ παράδοσις ἡ τῇ 18 ἰουλίου μηνὸς ἐν τῷ μετὰ χεῖρας «Ἑορτολογίῳ» ἐκτεθεῖσα, τῆς ἐπὶ Κοπρωνύμου δῆλον οὖν ἀθλήσεως τῆς ἁγίας Θεοδοσίας. Φαίνεται ὅτι τῶν δέκα μαρτύρων ἡ ἄθλησις συνέβη τῷ 730, μετὰ τὴν ἐκλογὴν Ἀναστασίου πατριάρχου τοῦ ἀπὸ συγκέλλων[38].

---

34. Στουδίτου ἐπιστολαί· Migne, τόμ. γΘ', 1405.

35. Theoph. Contin. σ. 79· ὁ Ζωναρᾶς (ΙΕ', 24) ἁπλῶς γράφει « ταῖς ἀσκουμέναις μοναχαῖς ἐν τῇ νήσῳ τοῦ Πρίγκηπος » : ὁμιλῶν περὶ τοῦ Τραυλοῦ.

36. Θεοφ. Α', σ. 745 καὶ ἀλλαχοῦ. Ζωναρᾶς, ΙΕ' 14, (Δινδορφ. Γ', 369).

37. Σκ. Βυζαντίου «Κωνσταντινούπολις» Α', σελ. 394.

38. Στεφάνου βίος ὑπὸ Στεφάνου διακόνου· Migne, τ. Γ', στ. 1085.

§

10. Λαυρεντίου τοῦ ἀρχιδιακόνου.

Ἤθλησεν ἐν Ῥώμῃ ἐπὶ Δεκίου.

Νομίζω ὅτι εἰς τὸν Λαυρέντιον τοῦτον ἀναφέρεται ὁ ναός, ὃν ἔκτισεν ἡ αὐγοῦστα Πουλχερία πρὸ τοῦ 450 ἐπὶ τῇ εὑρέσει τῶν λειψάνων Λαυρεντίου καὶ Ἀγνῆς. Ἐὰν ᾖ ὁ ναὸς οὗτος ὁ τῷ 532 ἀναφερόμενος, ἄγνωστον· ἀλλ' αὐτὸς ἔκειτο *πέραν*, ἔχων καὶ προνόμιον ἀσυλίας τῶν καταδίκων[39], καὶ τὸ πέραν τοῦτο σημαίνει βεβαίως ἀπέναντι. Ἐν τούτοις, ἁγίου Λαυρεντίου ναὸς «ἐν ἀριστερᾷ τοῦ κόλπου» τάττεται, πρὸ τοῦ Μ. Ἰουστινιανοῦ ἀφεγγὴς ὤν, ὑπ' αὐτοῦ δ' εὐρύχωρος ἐγερθείς, εὐρυνθεὶς δῆλον οὖν, φωτὸς εἰσαχθέντος ἐν αὐτῷ πολλοῦ. «Ἐπίπροσθεν» αὐτοῦ ἦν ὁ ναὸς τῆς Θεοτόκου τῶν Βλαχερνῶν[40]· ὥστε ἦν ἐντὸς τοῦ τείχους· καὶ συνεπῶς οἱ ναοί εἰσι δύο· 2) ναὸς ἁγίου Λαυρεντίου ὑπῆρχε καὶ ἐν Πουλχεριαναῖς, ὃν ἐκ βάθρων καὶ πάλιν ἀνήγειρε Βασίλειος ὁ Μακεδὼν κομψόν[41]· ἀλλ' αἱ Πουλχεριαναὶ περιελαμβάνοντο ἐν τῷ ἐνδεκάτῳ ῥεγεῶνι τῆς πόλεως, ὁ δὲ ῥεγεὼν οὗτος περιεῖχε τὰ μέρη τὰ ἀπὸ τοῦ τεμένους Σουλτὰν-Μεχμὲτ καὶ τῶν πρὸς τὸν Κεράτιον κατωφερειῶν· καὶ τότε λοιπὸν ὁ ναὸς τοῦ ἁγίου Λαυρεντίου δέον ἵνα τεθῇ ἄνω τῶν Βλαχερνῶν. Ὁ μυθογράφος Ἀντώνιος τίθησι τοῦτον οὐ μακρὰν τοῦ ναοῦ τῆς ἁγίας Θεοδοσίας, ὁ δὲ ἰατρὸς Mordtmann, ἐπειδὴ πιστεύει τὸ σήμερον Γκιοὺλ-τζαμὶ μονὴν τῶν Δεξιοκράτους, τίθησι καὶ τὸν Ἅγιον Λαυρέντιον ἔσωθεν τοῦ Ἀγιὰ-καπί[42]· ἀλλ' ὁ Σκ. Βυζάντιος ὀρθότερον πλησίον τοῦ σήμερον Γενῆ-μπαγτσέ[43]. Ἐπὶ Μηνᾶ πατριάρχου Κωνσταντινουπόλεως ἀναφέρεται 3) μονὴ τοῦ ἁγίου Λαυρεντίου συστηθεῖσα ὑπὸ τοῦ συγχρόνως ἀκμάζοντος ἡγουμένου αὐτῆς καὶ πρεσβυτέρου Θεοδώρου[44].

§

11. Τὰ ἐγκαίνια τοῦ σεβασμίου καὶ περικαλλοῦς οἴκου καὶ θείου ναοῦ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ἐλεούσης.

Τοῦ ναοῦ γνῶσιν λαμβάνομεν ἀπό τε τοῦ Συναξαριστοῦ καὶ τῶν Μηναίων.

* * *

11. Νεοφύτου, Ζήνωνος, Γαΐου, Μάρκου, Μακαρίου καὶ Γαϊανοῦ τῶν μαρτύρων. Ἡ σύναξις ἐν τῷ ἐξαέρῳ οἴκῳ τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ ἐν τοῖς Δαρείου.

Ναὸς ἴδιος εἰς τιμὴν αὐτῶν οὐκ ἠγείρετο.

§

12. Φωτίου καὶ Ἀνικήτου τῶν μαρτύρων. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν ἐν τῷ Στρατηγίῳ.

Ἤθλησαν ἐπὶ Διοκλητιανοῦ ἐν Νικομηδείᾳ. Ἡ μνεία τῆς συνάξεως παρὰ Νικοδήμῳ. Ὁ ναὸς αὐτῶν ἔκειτο ἐν τῷ Στρατηγίῳ, ὅπερ ὁ διδάκτωρ A. Mordtmann τίθησιν ὅπου νῦν ἡ Ὑψηλὴ Πύλη, ὁ δὲ Σκ. Βυζάντιος παρὰ τὸ Γεσὴρ-παζὰρ τῆς σήμερον[45]. Ὑπῆρχε δὲ καὶ μικρὸν Στρατήγιον παρὰ τῷ ναῷ τοῦ ἁγίου Διομήδους ἔσω τῆς Χρυσῆς Πύλης.

§

13. Εὐδοκίας τῆς βασιλίσσης.

Ἔστιν ἡ γνωστὴ Ἀθηναΐς, ἡ σύζυγος Θεοδοσίου τοῦ Β', ἀποθανοῦσα τὸν ὀκτώβριον τοῦ 460 ἐν τῇ Παλαιστίνῃ, ἐν ᾗ πολλὰς ᾠκοδόμησε μονὰς καὶ τὸν ἔξω τῆς Ἱερουσαλὴμ ναὸν τοῦ ἁγίου Στεφάνου, ἐν ᾧ καὶ ἐτάφη. Κατὰ τὸν Θεοφάνη, ἐβαπτίσθη τῷ 419 ὑπὸ τοῦ Κωνσταντινουπόλεως Ἀττικοῦ, «κάλλει σώματος καὶ συνέσει ψυχῆς καὶ ἐν λόγοις διαπρέπουσα». Ἀλλὰ καὶ Εὐδοκία, ἡ τῆς Εὐδοκίας ταύτης ἐγγόνη καὶ σύζυγος Ὀνωρίχου ῥηγὸς Ἀφρικῆς, ἀρειανοῦ τὸ δόγμα, καταλιποῦσα τοῦτον, ἦλθεν εἰς Ἱεροσόλυμα, ὀρθόδοξος οὖσα, καὶ «ἡμέρας ὀλίγας διατρίψασα ἐν τῇ ἁγίᾳ πόλει ἐτελεύτησεν ἐν εἰρήνῃ (τῷ 472) πάντα τὰ αὐτῆς καταλείψασα ἐν τῇ Ἁγίᾳ Ἀναστάσει»[46].

* * *

13. Ἡ μετάθεσις τοῦ λειψάνου τοῦ ὁσίου Μαξίμου τοῦ ὁμολογητοῦ.

---

39. Θεοφ. Α', σελ. 164 καὶ 283. Κάλλιστος· Ἐκκλησ. Ἱστ. ΙΔ', ι'. Μαλαλᾶς· σελ. 473.

40. Προκοπίου, Περὶ κτισμάτων· σελ. 193.

41. Theoph. Contin. σελ. 339.

42. Mordtmann, Esquisse· § 63, σ. 39 καὶ § 70.

43. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις», Α', σ. 347.

44. Δουκαγγίου, Const. Christ. σ. 88, ἀρ. LVIII.

45. Esquisse topogr. § 8. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις», Α', σελ. 408.

46. Εὐάγριος· Ἐκκλ. Ἱστ. Α', κα' καὶ κβ'. Θεοφ Α', σ. 130 κ. ἑξ. 183-184. Περὶ τῆς εὐσεβείας τῆς Εὐδοκίας γράφει Κάλλιστος· Ἐκκλ. Ἱστ. ΙΔ', ν'.

Βεβαίως ἡ μονὴ τῆς Χρυσοπόλεως ἄγουσα σύναξιν τῇ 21 ἰανουαρίου (ἴδε ἐκεῖ) ἑώρταζε καὶ κατὰ τὴν ἡμέραν ταύτην.

* * *

13. Μνήμη τῆς ἀοιδίμου βασιλίσσης καὶ κτιτορίσσης τῆς σεβασμίας μονῆς τοῦ Παντοκράτορος Εἰρήνης, τῆς διὰ τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος μετονομασθείσης Ξένης μοναχῆς[47].

§

14. Μαρκέλλου ἐπισκόπου Ἀπαμείας ἱερομάρτυρος. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ προφητείῳ τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ ἐν τοῖς Φωρακίου.

Ἤκμαζεν ἐπὶ τοῦ Μ. Θεοδοσίου ἐν Ἀπαμείᾳ τῆς Συρίας.

* * *

14. Ἡ εἰς τὸ παλάτιον ἐπιστροφὴ τοῦ τιμίου Σταυροῦ.

Ἴδε εἰς τὴν 31 ἰουλίου.

§

15. Ἡ κοίμησις τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου.

Ἡ ἑορτὴ εἰσήχθη μετὰ τὸν Ε' αἰῶνα. Νικόδημος ὁ τοῦ Συναξαριστοῦ εἶπεν εἰς τὴν 2 ἰουλίου περὶ τῆς ἑορτῆς ταύτης ἀκουσίως ὅ,τι ἔδει ἵνα εἴπῃ. Ἡ ἐπὶ τῇ ἑορτῇ ταύτῃ προέλευσις ἐγίνετο ἐν τῷ ναῷ τῶν Βλαχερνῶν[48], φαίνεται δ' ὅτι κατὰ τὸν τελευταῖον αἰῶνα, τοῦ ναοῦ τῶν Βλαχερνῶν πυρποληθέντος, ἡ προέλευσις ἐγίνετο ἐν τῇ Ἁγίᾳ Σοφίᾳ, ἐν ᾗ κατὰ τὴν παννυχίδα παρέμενεν ὁ αὐτοκράτωρ[49]. Τῇ 15 αὐγούστου μετὰ τὴν λειτουργίαν ἐν τῷ ναῷ τῶν Βλαχερνῶν προσέφερον, κατ' ἔθος ἐπικρατῆσαν μέχρι τοῦ ΙΒ' αἰῶνος τελευτῶντος, εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως «σταρυλὰς ἐν τῷ θυσιαστηρίῳ τοῦ θείου ναοῦ»[50]. — Τὴν λιτὴν τῆς ἑορτῆς ταύτης ἐν Βλαχέρναις ἐθέσπισε τῷ 588 Μαυρίκιος ὁ αὐτοκράτωρ, «καὶ ἐγκώμια λέγειν τῆς δεσποίνης, ὀνομάσας αὐτὴν πανήγυριν»[51]. Ἐντεῦθεν ἡ σύστασις τῆς ἑορτῆς· ὁ δὲ εἰς αὐτὴν ἀρχαιότερος λόγος ἐγράφη μόλις ἐν ἀρχαῖς τοῦ Ζ' αἰῶνος ὑπὸ Μοδέστου πατριάρχου Ἱεροσολύμων[52]. Κατὰ τὴν ἡμέραν ταύτην ἤγετο ἑορτὴ πρὸς ἀνάμνησιν ἐπιθέσεώς τινος γενομένης ἐπὶ Λέοντος Ἰσαύρου κατὰ τῆς Κωνσταντινουπόλεως, ἀλλ' ἀποτυχούσης[53].

§

16. Μνήμη τῆς ἐξ Ἐδέσσης ἀνακομιδῆς τῆς ἀχειροποιήτου Εἰκόνος τοῦ Κυρίου ἡμῶν, ἤτοι τοῦ ἁγίου μανδηλίου.

Τὰς λέξεις ταύτας ἀναγινώσκομεν ἐν τῷ Μηναίῳ, παρ' ᾧ ὅμως διττῶς ἀναγράφεται ἡ μνήμη, καθὼς ἐν τῷ Συναξαριστῇ:

Ἀνάμνησις τῆς εἰσόδου τῆς ἀχειροτεύκτου μορφῆς τοῦ Κυρίου καὶ Θεοῦ..... ἐκ τῆς ἐδεσσηνῶν πόλεως εἰς τὴν βασιλίδα τῶν πόλεων ἀνακομισθείσης.

Ἡ εἴσοδος τῆς θεανδρικῆς μορφῆς, ἣν αὐτὸς ὁ Κύριος ἀπεμάξατο, κατὰ τὴν παράδοσιν, ἐπὶ τετραδίπλου ῥάκους, ἐγένετο τῇ 15 αὐγούστου 944. Τὸ λεγόμενον Βασιλειανόν, μὴ μιμνησκόμενον τῆς εἰσόδου ταύτης, προδήλως ἐγράφη οὐχὶ πρὸ τοῦ 956, καθὼς εἶπον τῇ 7 ἰανουαρίου, ἀλλὰ πρὶν καὶ τοῦ 944.

Ἡ ἀχειροποίητος μορφὴ ἀπεστάλη δι' Ἀνανίου τοῦ ἀποστόλου πρὸς Αὔγαρον τὸν τοπάρχην Ἐδέσσης ὑπ' αὐτοῦ τοῦ Σωτῆρος γράψαντος ἐπὶ τούτῳ ἐπιστολὴν εἰς ἀπάντησιν τῆς ὑπὸ τοῦ Αὐγάρου σταλείσης. Ἡ παράδοσις ἐστὶν ἀρχαιοτάτη, καὶ ταύτην διέσωσεν ὁ πατὴρ τῆς ἐκκλησιαστικῆς ἱστορίας Εὐσέβιος, πεισθεὶς ἐκ τῶν ἐν Ἐδέσσῃ γραμματοφυλακείων· «ἐν γοῦν τοῖς αὐτόθι δημοσίοις χάρταις, τοῖς τὰ παλαιὰ καὶ τὰ ἀμφὶ τὸν Ἄγβαρον πραχθέντα περιέχουσι, καὶ ταῦτα εἰσέτι καὶ νῦν ἐξ ἐκείνου πεφυλαγμένα εὑρηται· οὐδὲν δὲ οἷον καὶ αὐτῶν ἐπακοῦσαι τῶν ἐπιστολῶν, ἀπὸ τῶν ἀρχείων ἡμῖν ἀναληφθεισῶν, καὶ τόνδε αὐτοῖς ῥήμασιν ἐκ τῆς Σύρων φωνῆς μεταβληθεισῶν τὸν τρόπον»[54]. Τὰ περὶ τῆς μεταφο-

---

47. Ἦν ἡ σύζυγος Ἰωάννου τοῦ Κομνηνοῦ· τὰ περὶ αὐτῆς ἐν τῷ Συναξαριστῇ φαίνονταί μοι παράδοξα.

48. Πορφυρογεν. Ἐκθ. Α', σελ. 779.

49. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 81.

50. Βαλσαμῶνος ἑρμην. Γ' κανόνος ἁγ. Ἀποστόλων.

51. Θεοφ. Α', σελ. 410. Μέχρι τῶν μέσων τοῦ Ε' αἰῶνος ἠγνόουν οἱ ἐν Κωνσταντινουπόλει λόγιοι κληρικοὶ καὶ λαϊκοὶ τὴν περὶ σωματικῆς μεταστάσεως τῆς Θεοτόκου παράδοσιν· ἴδε Βασιλειανὸν καὶ Συναξαρ. εἰς τὴν 2 ἰουλίου.

52. Migne, τόμ. ΠϚ', ἀπὸ στήλ. 3278-3312.

53. Μηνολόγιον καὶ Συναξαριστής. Ἀμαρτωλός· Migne, τόμ. ΡΙ', στ 925. Τὸ Μηναῖον ἀναγράφει τὴν μνήμην εἰς τὴν 16 αὐγούστου.

54. Εὐσέβιος· Ἐκκλ. Ἱστορ. βιβλ. Α', κεφ. ιγ'.

